Euripides

EURIPIDIS

ALCESTIS.

AD CODICEM VATICANUM

RECENSUIT

GULIELMUS DINDORFIUS.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXXXIV.

PRÆFATIO.

ANTIQUIOR meliorque Euripidis codicum classis eorum est qui septem vel novem fabulas priores complectuntur. Inter hos principem locum tenet Vaticanus 909, bombycinus, sæculo exaratus duodecimo, ex quo scholia in Troades et Rhesum, doctissimis referta veterum grammaticorum notationibus, ab Hieronymo Amatio descripta prodierunt, lectionis autem varietatem unius tantum fabulæ Medeæ ab Elmsleio editam habemus: cui ego nunc Alcestin addo. Ad hujus libri laudes non alius accedit propius quam Havniensis, novem ipse quoque tragœdias complexus: cujus etsi tanta est cum Vaticano in rebus plerisque omnibus consensio ut ex eodem utrumque fonte ductum appareat, Vaticanus tamen, utpote antiquior, passim præstat Havniensi et de Alcestide eximium solus conservavit fragmentum didascalicum, de quo nunc mihi est dicendum.

Tetralogias tragicorum Atheniensium omni tempore ex tribus fuisse compositas tragœdiis et fabula satyrica una liquido putatur constare testimonio Diogenis Laertii, qui de tetralogiis dialogorum Platonis ita scribit III. 56: Θρασύλλος δέ φησι καὶ κατὰ τὴν τραγικὴν τετραλογίαν ἐκδοῦναι αὐτὸν τοὺς διαλό-

γους· οἷον ἐκεῖνοι τέτρασι δράμασιν ἠγωνίζοντο —— ὧν τὸ τέταρτον ἦν σατυρικόν· τὰ δὲ τέτταρα δράματα ἐκαλεῖτο τετραλογία. Accedit ad fidem huic opinioni faciendam quum trilogiæ nomen, quo tres tragœdias Aristarchus et Apollonius appellarunt[a], tum ipsa instituti illius ratio manifesta. Nam quum ludorum scenicorum sollemnitas inde ab antiquissimis temporibus cum publicis conjuncta esset Dionysi honoribus, plenis illis hilaritate et lascivia, severioris poesis suæ hoc quasi temperamento usi sunt poetæ tragici ut adjuncta ad tres tragœdias fabula satyrica jocis et lusibus satyrorum, qui sunt perpetui comites Dionysi, populum oblectarent. Præterea inter tetralogias quæ adhuc innotuerunt nulla est quin eo sit quem Diogenes Laertius dixit modo composita. Innotuerunt autem octo: tres Æschyli[b], quattuor Euripidis[c], una Xenoclis[d], æqualis Euripidi poetæ: nam quod duabus trilogiis Euripidis nescitur quæ satyricæ fabulæ additæ fuerint, nemo erit

[a] Scholiasta Aristoph. Ran. v. 1155. Τετραλογίαν φέρουσι τὴν Ὀρέστειαν αἱ διδασκαλίαι, Ἀγαμέμνονα, Χοηφόρους, Εὐμενίδας, Πρωτέα σατυρικόν. Ἀρίσταρχος καὶ Ἀπολλώνιος τριλογίαν λέγουσι χωρὶς τῶν σατυρικῶν.

[b] I. Orestea cum Proteo. II. Lycurgea (h. e. Ἠδωνοὶ, Βασσαρίδες, Νεανίσκοι) cum Lycurgo. III. Phineus, Persæ, Glaucus Potniensis cum Prometheo πυρφόρῳ, quem Pollux memoriæ errore πυρκαέα dixit, Sophoclis, ut videtur, Ναυκλίου πυρκαέως recordatus.

[c] I. Medea, Philoctetes, Dictys cum Θερισταῖς. II. Alexander, Palamedes, Troades cum Sisypho. III. Hypsipyle, Phœnissæ, Antiopa . . . . IV. Iphigenia (Taurica, non Aulidensis) Alcmæo, Bacchæ . . . .

[d] Œdipus, Lycaon, Bacchæ cum Athamante. Alias aliorum tetralogias, ut Philoclis Pandionidem et Meleti Œdipodeam, sciens omitto, quoniam non constat quas sint et quales fabulas complexæ.

qui solis trilogiis certasse poetam quam ab grammaticis istarum fabularum nomina vel omissa esse vel ignorata credere malit. Neque tamen hæc argumenta tantam vim habent ut stabilem illam fuisse atque legibus præscriptam tetralogiæ compositionem sequatur. Nam si Sophocli licuit præter morem ætatis suæ singulis decertare tragœdiis[e], quemadmodum comici poetæ singulas in scenam produxerunt comœdias, nihil impedit quominus alia alios novasse credamus. Ejusmodi est quod nunc de Euripidis tetralogia quadam ex quattuor composita tragœdiis expromere mihi licet veteris grammatici testimonium. In qua re hoc quoque feliciter accidit ut ipsa quarta tetralogiæ hujus tragœdia, Alcestis, ad nostra usque tempora sit servata. Quo fit ut quodammodo conjicere possimus quid consilii Euripides aliique poetæ tragici secuti esse videantur, si qui forte tetralogias similiter compositas ediderint. Probabile est enim poetas hoc inprimis curasse ut quarta tragœdia argumentum haberet quod non ad agitandos vehementiori motu spectatorum animos esset comparatum, sed propius accederet ad levitatem dramatis satyrici. Talis autem aperte hæc Euripidis tragœdia est, in qua quod solum aliquam ad animum commovendum vim habet, Alcestidis mortem pro Admeto sponte subeuntis fortitudo, id prope totum tollitur mulieris ab Hercule inferis ereptæ reditu. Neque Herculis persona, qualem in hac fa-

[e] Suidas s. v. Σοφοκλῆς: Αὐτὸς ἦρξε τοῦ δρᾶμα πρὸς δρᾶμα ἀγωνίζεσθαι, ἀλλὰ μὴ τετραλογίαν. Scriptor vitæ Sophoclis, παρ' Αἰσχύλῳ δὲ τὴν τραγῳδίαν ἔμαθε καὶ πολλὰ ἐκαινούργησεν ἐν τοῖς ἀγῶσι.

bula prodire videmus, quidquam tragicæ gravitatis habet. Eos enim ille mores ostendit, quos in satyricis fabulis et comœdiis ridere, non in tragœdiis spectare assueverant Athenienses. Recte igitur veteres grammatici indicarunt *κωμικωτέραν* esse Alcestidis *καταστροφήν*: quamquam non videntur attendisse ad id quod præcipuum in hac caussa momentum facit, quartam hanc esse tetralogiæ fabulam: iisdem enim verbis de Oreste tragœdia judicium tulerunt, quæ ut habeat quod reprehendi possit, dissimillima tamen Alcestidi est, nec dubium quin Oresti alium quam quartum tetralogiæ locum dederit Euripides, id quod ipsa fabulæ longitudo prodere videtur.

Reliquum est ut fragmentum, quod supra dicebam, didascalicum proponam, satis illud etiam aliis de caussis memorabile. In eo de Alcestide ita scriptum est, præmissa brevi argumenti expositione: *Ἄλκηστις ἡ Πελίου θυγάτηρ ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ διασώζεται, βιασαμένου τοὺς χθονίους θεοὺς καὶ ἀφελομένου τὴν γυναῖκα. παρ' οὐδετέρῳ* (i. e. neque Æschylo neque Sophocli) *κεῖται ἡ μυθοποιία. Τὸ δρᾶμα ἐποιήθη ιξ̄· ἐδιδάχθη ἐπὶ Γλαυκίνου ἄρχοντος τὸ λ̄: πρῶτος*[f] *ἦν Σοφοκλῆς, δεύτερος Εὐριπίδης Κρήσσαις, Ἀλκμαίωνι τῷ διὰ Ψωφῖδος*[g], *Τηλέφῳ, Ἀλκήστιδι. τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν κατασκευήν*[h].

[f] Codex *πρῶτον* et *δεύτερον*. Sic in didascalia Aristophanis Pacis liber Venetus *πρῶτον εὔπολις κόλαξι, δεύτερον ἀριστοφάνους εἰρήνη*, sed *τρίτος λεύκων φράτορσι*.

[g] Codex *ἀλκμαίονι τῷ διαψωφίλω*. *Ἀλκμαίονι* simile quidem habet *Ἀκταίονος*, sed alienum ab hoc loco est. Quare aut *Ἀλκμαίωνι* aut *Ἀλκμέωνι* scribendum.

[h] *κατασκευήν* in *καταστροφήν* mutari potest comparato quod infra

Tum sequuntur quæ ex codice Havniensi edidit Matthiæ vol. VII. p. 114. partim alius grammatici verba, *ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Φεραῖς μιᾷ πόλει τῆς Θετταλίας. συνέστηκε δὲ ὁ χορὸς ἔκ τινων πρεσβυτῶν ἐντοπίων· οἳ καὶ παραγίνονται συμπαθήσοντες ταῖς Ἀλκήστιδος συμφοραῖς. προλογίζει ὁ ἥλιος* (corr. *ὁ Ἀπόλλων*). *εἰσιδ᾽ἔχορηγοὶ* (sic: codex Havniensis *εἰσὶ δὲ* χορηγοὶ cum quattuor circiter literarum lacuna). *τὸ δὲ δρᾶμά ἐστι σατυρικώτερον, ὅτι εἰς χαρὰν καὶ ἡδονὴν καταστρέφει. παρὰ τοῖς τραγικοῖς ἐκβάλλεται ὡς ἀνοίκεια τῆς τραγικῆς ποιήσεως ὅ τε Ὀρέστης καὶ ἡ Ἄλκηστις, ὡς ἐκ συμφορᾶς μὲν ἀρχόμενα, εἰς εὐδαιμονίαν δὲ καὶ χαρὰν λήξαντα. ἔστι μᾶλλον κωμῳδίας ἐχόμενα.* In his illa statim verba aliquid difficultatis habent, *τὸ δὲ δρᾶμα ἐποιήθη ιξ*, quorum postremis literis duabus numeri aliqua nota contineri videtur, qua indicatum fuit quota hæc esset fabula Euripidis, quemadmodum de Sophoclis Antigona proditum est, *λέλεκται δὲ τὸ δρᾶμα τοῦτο λβ'*, et de Aristophanis Avibus, *ἔστι δὲ ιε'*. Quæ autem numero corrupto adhibenda emendatio sit, accurate definiri nequit, probabiliter dici potest. Nam quum Euripidem, qui intra quinquaginta annos fabulas circiter nonaginta scripsit, primum in certamen descendisse constet archonte Callia Olympiadis octogesimæ primæ anno primo, Alcestis autem *ἐπὶ Γλαυκίνου* edita sit, qui Olympiadis octogesimæ quintæ anni secundi eponymus fuit, verisimile fit numerum illum triginta non excedere. Archontis nomen *Γλαυκίνου* nonnisi ex duobus præter hunc scriptorum locis cognitum est, altero

legitur *τὸ δρᾶμα—καταστρέφει*, quodque in argumento Orestis scriptum est iisdem verbis, *τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν*.

Slinh. nat. dandica

Diodori Siculi XII. 30. ubi Γλαυκίδου legitur, altero scholiastæ Aristophanis ad Acharn. v. 67. ubi cum præpositione ἐπὶ in ἐπιγκίνου coaluit, quod ἐπὶ Γλαυκίνου potius est quam quod Meursio aliisque ex Diodoro reponere placuit ἐπὶ Γλαυκίδου. Nunc quum nihil caussæ sit cur duo testes ad unius quam unus ad duorum exemplum refingatur, utrumque intactum relinqui satius est, donec reperiatur qui litem dirimat. Ita quum apud Strabonem VIII. p. 353. in libris scriptum sit Φειδίας Χαρμίνου, epitome autem Χαρμίδου præbeat, hoc verum esse docuit versus ab Pausania servatus V. 10, 2.

Φειδίας Χαρμίδου υἱὸς Ἀθηναῖός μ᾽ ἐποίησε.

Proximis literis τὸ λ̃ non dubito quin Olympiadis numerus significetur. Scribendum igitur πέ ὀλ. Similiter omissa anni nota in argumento Medeæ, ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος κατὰ τὴν πζ΄ ὀλυμπιάδα, ubi alius codex ἄρχοντος ὀλυμπιάδος πζ΄.

Quattuor quas hac tetralogia Euripides comprehendit fabularum tempus ex his demum grammatici nostri verbis cognoscimus, quibus Elmsleii aliorumque opinio convellitur, qui Medeam omnium quæ supersunt Euripidis fabularum antiquissimam esse putarunt errore satis excusabili. Tantum enim sciebamus, Cressas, Telephum et Alcestin ante Aristophanis Acharnenses (h. e. ante Olymp. LXXXVIII. 3.) editas esse. Nam Telephum tragœdiam, de qua eleganti commentatione nuper disseruit Jacobus Geelius, acerrime in Acharnensibus insectatus est Aristophanes, Cressas præteriens attigit in eadem comœdia v. 432, quod non fugit scholiastam, Alcestin autem v. 893.

μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἴην ἐντετευτλανωμένης,

quæ referuntur ad tragici verba v. 367.

μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἴην τῆς μόνης πιστῆς ἐμοί.

De Alcmæone ambigua erat scholiastæ Aristophanis notatio ad Equitum v. 1302. οὐδὲ πυνθάνεσθε ταῦτ', ὦ παρθένοι, τἀν τῇ πόλει: ὁ στίχος παρὰ τὰ ἐξ Ἀλκμαίωνος Εὐριπίδου. Duæ enim fuerunt fabulæ Alcmæonis nomine ab Euripide inscriptæ, altera Ἀλκμαίων ὁ διὰ Ψωφῖδος, altera Ἀλκμαίων ὁ διὰ Κορίνθου. Nunc patet Equitum versum ex Alcmæone τῷ διὰ Ψωφῖδος esse adumbratum, Alcmæonem autem tragœdiam, quam scholiasta Ranarum v. 67. post mortem demum Euripidis ab filio editam esse narrat, Alcmæonem esse τὸν διὰ Κορίνθου: id quod conjectura assecutus est Matthiæ in fragmentorum collectione p. 21, quanquam argumento usus admodum infirmo. *Priorem*, inquit, *censeo fuisse eam, quæ* διὰ Ψωφῖδος *inscribitur, utpote celebriorem et sæpius ab antiquis citatam.*

Quæ de argumento Alcestidis fabulæ ab grammatico traduntur propterea apposui, ut de verbis istis mire corruptis dicerem, εἰσιδ'ἐχορηγοὶ, quæ non dubito quin alienum in locum sint dejecta. Cohærent enim cum superiore annotatione didascalica, videnturque nomen continere choregi. Fortasse igitur scribendum, Εἰσίδοτος (h. e. Ἰσίδοτος) ἐχορήγει. Similis est grammatici antiqui de Æschyli Orestea annotatio in argumento Agamemnonis, ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς. et apud Stephanum Byzant. s. v. Ἀτήνη, Πατροκλῆς Ἀτηνεὺς ἐχορήγει. Isidoti nomen frequens in monumentis Atticis est, Εἰσίδοτος scriptum in titulis apud

Boeckhium vol. I. p. 317. 321. 327. 378. 385. 386. 394. 395; Ἰσίδοτος p. 366. 382. 394. et in inscriptione ab Leakio edita (in *Transactions of the Royal Society*, vol. I. part II. p. 216.) Ἰσίδοτος Στράτωνος Κυδαθηναιεύς.

Scribebam Lipsiæ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΠΟΛΛΩΝ.

ΘΑΝΑΤΟΣ.

ΧΟΡΟΣ.

ΘΕΡΑΠΑΙΝΑ [a].

ΑΛΚΗΣΤΙΣ.

ΑΔΜΗΤΟΣ.

ΕΥΜΗΛΟΣ.

ΗΡΑΚΛΗΣ.

ΦΕΡΗΣ.

ΘΕΡΑΠΩΝ.

[a] θεράπων hic ponit et infra om. A. In fine A. addit, ἐξιὼν ἐκ τοῦ οἴκου τοῦ Ἀδμήτου προλογίζει ὁ Ἀπόλλων ῥητορικῶς.

ΥΠΟΘΕΣΙΣ.

Ἀπόλλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν ὅπως ὁ Ἄδμητος τελευτᾶν μέλλων παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις ἡ γυνὴ τοῦ Ἀδμήτου ἐπέδωκεν ἑαυτὴν, οὐδετέρου τῶν γονέων θελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ ταύτης τῆς συμφορᾶς γενομένης καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν ἐντυχὼν ὁ Ἡρακλῆς ἐπορεύθη ἐπὶ τὸν τάφον, καὶ Θάνατον ἀποστῆναι ποιήσας ἐσθῆτι καλύπτει τὴν γυναῖκα. τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα αὐτὴν τηρεῖν· εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου, [a] ἀποκαλύψας ἔδειξεν ἣν ἐπένθει.

[a] ἀποκαλύψας om. A.H.

ΕΥΡΙΠΙΔΟΥ ΑΛΚΗΣΤΙΣ.

ΑΠΟΛΛΩΝ.

Ὦ ΔΩΜΑΤ' Ἀδμήτει', ἐν οἷς ἔτλην ἐγὼ
θῆσσαν τράπεζαν αἰνέσαι, θεός περ ὤν.
Ζεὺς γὰρ κατακτὰς παῖδα τὸν ἐμὸν αἴτιος
Ἀσκληπιὸν, στέρνοισιν ἐμβαλὼν φλόγα·
οὗ δὴ χολωθεὶς τέκτονας δίου πυρὸς
κτείνω Κύκλωπας· καί με θητεύειν πατὴρ
θνητῷ παρ' ἀνδρὶ τῶνδ' ἄποιν' ἠνάγκασεν.
ἐλθὼν δὲ γαῖαν τήνδ' ἐβουφόρβουν ξένῳ,
καὶ τόνδ' ἔσωζον οἶκον ἐς τόδ' ἡμέρας.
ὁσίου γὰρ ἀνδρὸς ὅσιος ὢν ἐτύγχανον,
παιδὸς Φέρητος, ὃν θανεῖν ἐρρυσάμην,
Μοίρας δολώσας· ἤνεσαν δέ μοι θεαὶ
Ἄδμητον Ἅιδην τὸν παραυτίκ' ἐκφυγεῖν,
ἄλλον διαλλάξαντα τοῖς κάτω νεκρόν.
πάντας δ' ἐλέγξας καὶ διεξελθὼν φίλους,
πατέρα γεραιάν θ' ἥ σφ' ἔτικτε μητέρα,
οὐχ εὗρε πλὴν γυναικὸς ἥτις ἤθελε

A. codex Vaticanus 909. H. codex Havniensis, cujus cum Vaticano consensum dissensumve notamus ubi operæ pretium videtur. Havniensem excussit Niebuhrius, a quo lectionis varietatem accepit Matthiæ.

3. κατακτὰς] κατ' ἀκτῆς A.
11. ἐρρυσάμην] ἐρυσάμην A.
13. παραυτίκ'] παρ' αὐτίκ' A.
17. ἥτις ab Reiskio frustra in ὅστις mutatur. Ad hunc locum referri potest omissa ab Musuro glossa Hesychii, qua ἥτις per ὅστις explicatur: nisi ex Aristophanis Nub. v. 692. sumpta est, ubi Socrati dicenti, ὁρᾷς; γυναῖκα

θανεῖν πρὸ κείνου μηδ᾽ ἔτ᾽ εἰσορᾶν φάος,
ἣ νῦν κατ᾽ οἴκους ἐν χεροῖν βαστάζεται
ψυχορραγοῦσα· τῇδε γάρ σφ᾽ ἐν ἡμέρᾳ
θανεῖν πέπρωται καὶ μεταστῆναι βίου.
ἐγὼ δὲ, μὴ μίασμά μ᾽ ἐν δόμοις κίχῃ,
λείπω μελάθρων τῶνδε φιλτάτην στέγην.
ἤδη δὲ τόνδε Θάνατον εἰσορῶ πέλας,
ἱερῆ θανόντων, ὅς νιν εἰς Ἅιδου δόμους
μέλλει κατάξειν· συμμέτρως δ᾽ ἀφίκετο
φρουρῶν τόδ᾽ ἦμαρ, ᾧ θανεῖν αὐτὴν χρεών.

ΘΑΝΑΤΟΣ.

ἆ ἆ.
τί σὺ πρὸς μελάθροις; τί σὺ τῇδε πολεῖς,
Φοῖβ᾽; ἀδικεῖς αὖ τιμὰς ἐνέρων
ἀφοριζόμενος καὶ καταπαύων.
οὐκ ἤρκεσέ σοι μόρον Ἀδμήτου
διακωλῦσαι, Μοίρας δολίῳ
σφήλαντι τέχνῃ; νῦν δ᾽ ἐπὶ τῇδ᾽ αὖ
χέρα τοξήρη φρουρεῖς ὁπλίσας,
ἣ τόδ᾽ ὑπέστη πόσιν ἐκλύσασ᾽
αὐτὴ προθανεῖν Πελίου παῖς.

ΑΠΟΛΛΩΝ.

θάρσει· δίκην τοι καὶ λόγους κεδνοὺς ἔχω.

ΘΑΝΑΤΟΣ.

τί δῆτα τόξων ἔργον, εἰ δίκην ἔχεις;

τὴν Ἀμυνίαν καλεῖς, Strepsiades respondet, οὔκουν δικαίως ἥτις οὐ στρατεύεται; Quod mihi probabilius videri dixi ad locum comici, in quo libri præter Ravennatem omnes ὅστις præbent.

18. μήδ᾽ ἔτ᾽ A.H. μηκέτ᾽ vulgo.

22. κίχῃ] κιχῇ A.

23. λείπω] λίπω A.

27. ἦμαρ] ἦμαρ A.

28. ἆ ἆ bis A.H. et Flor. duo. Vulgo quater.

37. αὐτὴ] αὐτὴν A.

38. τοι A.H. Vulgo τε.

ΑΠΟΛΛΩΝ.

σύνηθες ἀεὶ ταῦτα βαστάζειν ἐμοί.

ΘΑΝΑΤΟΣ.

καὶ τοῖσδέ γ' οἴκοις ἐκδίκως προσωφελεῖν.

ΑΠΟΛΛΩΝ.

φίλου γὰρ ἀνδρὸς συμφοραῖς βαρύνομαι.

ΘΑΝΑΤΟΣ.

καὶ νοσφιεῖς με τοῦδε δευτέρου νεκροῦ;

ΑΠΟΛΛΩΝ.

ἀλλ' οὐδ' ἐκεῖνον πρὸς βίαν σ' ἀφειλόμην.

ΘΑΝΑΤΟΣ.

πῶς οὖν ὑπὲρ γῆς ἐστι κοὐ κάτω χθονός;

ΑΠΟΛΛΩΝ.

δάμαρτ' ἀμείψας, ἣν σὺ νῦν ἥκεις μέτα.

ΘΑΝΑΤΟΣ.

κἀπάξομαί γε νερτέραν ὑπὸ χθόνα.

ΑΠΟΛΛΩΝ.

λαβὼν ἴθ'· οὐ γὰρ οἶδ' ἂν εἰ πείσαιμί σε.

ΘΑΝΑΤΟΣ.

κτείνειν γ' ὃν ἂν χρῇ; τοῦτο γὰρ τετάγμεθα.

ΑΠΟΛΛΩΝ.

οὔκ, ἀλλὰ τοῖς μέλλουσι θάνατον ἐμβαλεῖν.

ΘΑΝΑΤΟΣ.

ἔχω λόγον δὴ καὶ προθυμίαν σέθεν.

41. ἐκδίκως] ἐνδίκως A.

45. κάτω χθονός A.H. Lasc. χθονὸς κάτω quinque alii codd. κατὰ χθονός Ald. Troad. 1243. ἔστρεψ' ἄνωθεν περιβαλὼν κάτω χθονός.

47. νερτέραν] νερτέρων A.

48. πείσαιμι] πείσοιμι A. πεί(οι)σαιμι H.

49. κτείνειν γ' ὃν ἂν A. κτείνειν γοῦν ἂν H. κτείνειν ὃν ἂν vulgo. χρῇ] χρή A.

50. οὔκ, ἀλλὰ] οὔκ' ἄλλα A.

51. δὴ A.H. et quinque alii. Vulgo γε.

ΑΠΟΛΛΩΝ.

ἔστ' οὖν ὅπως Ἄλκηστις ἐς γῆρας μόλοι;

ΘΑΝΑΤΟΣ.

οὐκ ἔστι· τιμαῖς κἀμὲ τέρπεσθαι δόκει.

ΑΠΟΛΛΩΝ.

οὔτοι πλέον γ' ἂν ἢ μίαν ψυχὴν λάβοις.

ΘΑΝΑΤΟΣ.

νέων φθινόντων μεῖζον ἄρνυμαι γέρας.

ΑΠΟΛΛΩΝ.

κἂν γραῦς ὄληται, πλουσίως ταφήσεται.

ΘΑΝΑΤΟΣ.

πρὸς τῶν ἐχόντων, Φοῖβε, τὸν νόμον τίθης.

ΑΠΟΛΛΩΝ.

πῶς εἶπας; ἀλλ' ἦ καὶ σοφὸς λέληθας ὤν;

ΘΑΝΑΤΟΣ.

ὠνοῖντ' ἂν οἷς πάρεστι γηραιοὺς θανεῖν.

ΑΠΟΛΛΩΝ.

οὔκουν δοκεῖ σοι τήνδε μοι δοῦναι χάριν;

ΘΑΝΑΤΟΣ.

οὐ δῆτ'· ἐπίστασαι δὲ τοὺς ἐμοὺς τρόπους.

ΑΠΟΛΛΩΝ.

ἐχθρούς γε θνητοῖς καὶ θεοῖς στυγουμένους.

ΘΑΝΑΤΟΣ.

οὐκ ἂν δύναιο πάντ' ἔχειν ἃ μή σε δεῖ.

52. ἐς] εἰς A.H.

53. δόκει] δοκεῖ A.

54. οὔτοι] οὔ̆τοι A. altero accentu ab manu recentiori posito. οὔτι H.

55. γέρας A.H. et Florentini tres. κλέος vulgo.

58. ἀλλ' ἦ] ἀλλ' ἦ A. λέληθας] λέληθας A. (πέφυκας superscr.) πέφυκας H. in textu, λέληθας in margine.

59. ὠνοῖντ' ἂν οἷς] ὄνοιντ' ἂν οὓς A.

ΑΠΟΛΛΩΝ.

ἦ μὴν σὺ παύσει καίπερ ὠμὸς ὢν ἄγαν·
τοῖος Φέρητος εἶσι πρὸς δόμους ἀνὴρ,
Εὐρυσθέως πέμψαντος ἵππειον μέτα
ὄχημα Θρῄκης ἐκ τόπων δυσχειμέρων,
ὃς δὴ ξενωθεὶς τοῖσδ' ἐν Ἀδμήτου δόμοις
βίᾳ γυναῖκα τήνδε σ' ἐξαιρήσεται.
[κοὔθ' ἡ παρ' ἡμῶν σοι γενήσεται χάρις
δράσεις θ' ὁμοίως ταῦτ', ἀπεχθήσει τ' ἐμοί.]

ΘΑΝΑΤΟΣ.

πόλλ' ἂν σὺ λέξας οὐδὲν ἂν πλέον λάβοις·
ἡ δ' οὖν γυνὴ κάτεισιν εἰς Ἅιδου δόμους.
στείχω δ' ἐπ' αὐτὴν, ὡς κατάρξωμαι ξίφει·
ἱερὸς γὰρ οὗτος τῶν κατὰ χθονὸς θεῶν
ὅτου τόδ' ἔγχος κρατὸς ἁγνίσῃ τρίχα.

ΗΜΙΧΟΡΙΟΝ.

τί ποθ' ἡσυχία πρόσθεν μελάθρων;
τί σεσίγηται δόμος Ἀδμήτου;

ΗΜΙΧΟΡΙΟΝ.

ἀλλ' οὐδὲ φίλων πέλας οὐδεὶς,

64. παύσει] παύσῃ A.

Versus 70. et 71. plus una de caussa Euripide indignos seclusi.

71. ἀπεχθήσῃ τ' ἐμοί A.

73. ἡ δ' οὖν] ἥδ' οὖν A.

74. κατάρξωμαι] κατάρξομαι A.

76. ὅτου τόδ'] ὃ τοῦτο δ' A.

ἁγνίσῃ A. ἁγνήσει H. ἁγνίσει vulgo.

77—85. 93—97. 105—111. 132—136. Liberiora hæc anapæstorum systemata ad legitimorum formam redigere conati sunt librarii et critici recentiores, infelici utrique successu.

77. πρόσθεν Blomfieldus. Libri πρόσθε. Antiqua scriptura fuit πρόσθεμ μελάθρων.

79. φίλων πέλας οὐδεὶς A.H. et duo libri Florentini. Legebatur cum deterioribus φίλων τις πέλας οὐδεὶς, quæ librarii correctio est dimetrum explentis. In illo autem τὶς οὐδεὶς nihil exquisiti. Procopius de Bello Pers. p. 141 D. τούτῳ μέντοι τῷ κακῷ πρόφασίν τινα ἢ λόγῳ εἰπεῖν ἢ διανοίᾳ λογίσασθαι μηχανή τις οὐδεμία ἐστὶ, πλήν γε δὴ ὅσα ἐς τὸν θεὸν ἀναφέρεσθαι. Ibid. p. 144 D. οὕτως αἰτία τις ἦν οὐδεμία ἐν ταύτῃ τῇ νόσῳ ἐς ἀν-

ὅστις ἂν εἴποι
πότερον φθιμένην βασίλειαν
πενθεῖν, ἢ ζῶσ'
ἔτι φῶς λεύσσει Πελίου παῖς
Ἄλκηστις, ἐμοὶ πᾶσί τ' ἀρίστη
δόξασα γυνὴ
πόσιν εἰς αὑτῆς γεγενῆσθαι.

ΗΜΙΧΟΡΙΟΝ.

κλύει τις ἢ στεναγμὸν ἢ
χερῶν κτύπον κατὰ στέγας
ἢ γόον ὡς πεπραγμένων;
οὐ μὰν οὐδέ τις ἀμφιπόλων

θρώπου λογισμὸν φέρουσα. De Bello Gotth. p. 460 B. πρέσβεις—ἄλλο μέν τι οὐδὲν ἐς τὸ πλῆθος ἐροῦντας. Similiter ὅστις οὐδείς ponitur pro eo quod veteres οὐδεὶς ὅστις dicere solent. Sic tribus in locis Agathias, p. 96, 20. ed. Nieb. ἔμενέν τε οἴκοι ὅστις οὐδείς. P. 131, 20. ἀφαιρεῖται ὅστις οὐδεὶς τῶν ἐντυγχανόντων. P. 322, 2. ἐτεθνήκεσαν δὲ αὐτῶν μὲν ἀμφὶ τοὺς τετρακοσίους, Ῥωμαίων δὲ ὅστις οὐδείς.

80. ὅστις] Prior syllaba ad præcedentem versum refertur in A. Ego ex duobus qui ferebantur dimetris, ὅστις ἂν ἐνέποι πότερον φθιμένην | βασίλειαν χρὴ πενθεῖν ἢ ζῶσ', duos feci monometros interposito parœmiaco.

εἴποι A. aliique codices. εἴπῃ H. ἐνέποι vulgo.

81, 82. In Aldina aliisque editionibus veteribus distinctum, τὴν βασίλειαν χρὴ πενθεῖν, ἢ | ζῶσ' ἔτι φῶς λεύσσει Πελίου παῖς.

81. βασίλειαν A.H. codd. Florentini duo et Lascaris editio. τὴν βασίλειαν Ald.

πενθεῖν χρὴ ἢ A.H. et Florentini duo. χρὴ πενθεῖν ἢ vulgo cum Aldo. χρὴ delendum esse animadvertit Hermannus, servans tamen ille vulgatam versuum descriptionem articulumque τήν ante βασίλειαν. Ceterum parum elegans illud ἢ ζῶσ' ἔτι φῶς λεύσσει interpolationis alicujus magis reconditæ suspicionem movere potest.

82. φῶς] Libri præter Aldum omnes φῶς τόδε: cui tamen omittendi τόδε non minus perversam rationem fuisse puto quam veteribus criticis addendi fuit. Utrique enim dimetrum efficere voluerunt, hi ἔτι φῶς τόδε λεύσσει Πελίου παῖς, Aldus autem ζῶσ' ἔτι φῶς λεύσσει Πελίου παῖς.

λεύσσει] λεύσει A.

85. αὑτῆς] αὐτῆς A.

86—92=98—104.

86. στεναγμὸν] στεναγμῶν codex Florentinus unus.

88. γόον] γόων A.

89. οὐ] ἡμιχ. οὐ A.H.

στατίζεται ἀμφὶ πύλας.
εἰ γὰρ μετακύμιος ἄτας,
ὦ Παιὰν, φανείης.

ΗΜΙΧΟΡΙΟΝ.

οὔ τὰν φθιμένας γ' ἐσιώπων.

ΗΜΙΧΟΡΙΟΝ.

οὐ γὰρ δὴ φροῦδός γ' ἐξ οἴκων
νέκυς ἤδη.

ΗΜΙΧΟΡΙΟΝ.

πόθεν; οὐκ αὐχῶ. τί σε θαρσύνει;

ΗΜΙΧΟΡΙΟΝ.

πῶς ἂν ἔρημον τάφον Ἄδμητος
κεδνῆς ἂν ἔπραξε γυναικός;

ΗΜΙΧΟΡΙΟΝ.

πυλῶν πάροιθε δ' οὐχ ὁρῶ
πηγαῖον ὡς νομίζεται
χέρνιβ' ἐπὶ φθιτῶν πύλαις,
χαίτα τ' οὔτις ἐπὶ προθύροις

90. στατίζεται Hermannus. Libri στατίζετ'.

91. εἰ] ἡμιχ. εἰ A.H.

92. ὦ Matthiæ. Libri ἰὼ, eodem errore quo v. 435. 569.

93. φθιμένας] φθιμένης Monkius.

94. οὐ in Lasc. Ald. et, ut videtur, in codicibus ad versum præcedentem refertur. Hemichorii notam addunt A.H. aliique codices: om. Lasc. Ald.

φροῦδός γ' ἐξ οἴκων νέκυς Lasc. Ald. φροῦδός γ' ἐξ οἴκων νέκυς ἤδη A.H. et libri Florentini tres, quorum in uno ἤδη deletum. Ex alio Florentino enotatum φρούδων δ' ἐξ οἴκων νέκυς ἦδε. Φροῦδός γ' ἐξ οἴκων probat Elmsleius, deletis νέκυς ἤδη. Mihi non hæc tantum verba sed etiam præcedentia vitii sunt suspecta propter numeros reliquis in hoc carmine anapæstis dissimiles: quibus similes reddi poterunt scribendo, οὐ γὰρ φροῦδος νέκυς ἐξ οἴκων.

98. πάροιθε] πάροιθεν Ald.

99. νομίζεταί | γε χέρνιβ' Ald. quod qui posuit iambicum dimetrum efficere voluit.

100. φθιτῶν] φθιμένων A.H. et quattuor alii codices. Apud Sophoclem Antig. 595. πήματα φθιτῶν ἐπὶ πήμασι πίπτοντ', libri omnes φθιμένων.

101. χαίτα τ' οὔτις] χαίτη οὔτις A.H.

προθύροις] πρόθυρα Ald.

τομαῖος, ἃ δὴ νεκύων
πένθει πίτνει, οὐδὲ νολαία
δουπεῖ χεὶρ γυναικῶν.

ΗΜΙΧΟΡΙΟΝ.

καὶ μὴν τόδε κύριον ἦμαρ.

ΗΜΙΧΟΡΙΟΝ.

τί τόδ' αὐδᾷς;

ΗΜΙΧΟΡΙΟΝ.

ᾧ χρῆν σφε μολεῖν κατὰ γαίας.

ΗΜΙΧΟΡΙΟΝ.

ἔθιγες ψυχᾶς, ἔθιγες δὲ φρενῶν.

ΗΜΙΧΟΡΙΟΝ.

χρὴ τῶν ἀγαθῶν διακναιομένων
πενθεῖν ὅστις
χρηστὸς ἀπ' ἀρχῆς νενόμισται.

ΧΟΡΟΣ.

ἀλλ' οὐδὲ ναυκληρίαν
ἔσθ' ὅποι τις αἴας
στείλας ἢ Λυκίας

103. πένθει] πένθεσι Lasc. Ald. πίτνει Monkius. Libri πιτνεῖ.
οὐδὲ] ἡμιχ. οὐδὲ A.
οὐδὲ—γυναικῶν] οὐ δουπεῖ νεολαῖα γυναικῶν Ald.
νολαία] Legebatur νεολαία. Formam trisyllabam, comparandam cum νοσσός et νοττίον, restitui collata Photii glossa, p. 295, 8. Νεολαίαν: τὴν νεότητα τετρασυλλάβως οἱ Ἀττικοί. Βαβυλωνίοις, Ὦ Ζεῦ, τὸ χρῆμα τῆς νεολαίας ὡς καλόν. Qui non erat τετρασυλλάβως dicturus, nisi trisyllaba quoque forma exstitisset.
105. τόδε] τόδε δὴ Ald.
ἦμαρ] ἦμαρ A.
106, 107. Inverso ordine Ald. et cod. Flor. unus.
106. τί] καὶ τί Ald. monometrum acatalectum ex catalectico faciens. Catalecticum prava versuum descriptione obliteratum restitui etiam v. 133.
107. χρῆν] χρή A.H. cum quattuor codd. Flor. et Lasc.
109. ΗΜΙΧ.] Vulgo ΧΟΡΟΣ.
χρὴ] γν praefixum in A. hic et infra v. 301. 309. Id est γνώμη vel γνωμικόν. V. Boisson. ad Nicet. Eugen. vol. II. p. 67. Γνώμη plene praescriptum in A. versui 1076.
112—121 = 122—131.
112. Χορός addidi ex A.

εἴτ' ἐπὶ τὰς ἀνύδρους
'Αμμωνίδας ἕδρας
δυστάνου παραλῦσαι
ψυχάν· μόρος γὰρ ἀπότομος
πλάθει· θεῶν δ' ἐπ' ἐσχάραις
οὐκ ἔχω ἐπὶ τίνα
μηλοθύταν πορευθῶ.
μόνος δ' ἂν, εἰ φῶς τόδ' ἦν
ὄμμασιν δεδορκὼς
Φοίβου παῖς, προλιποῦσ'
ἦλθεν ἕδρας σκοτίας
ᾍδα τε πύλας· καὶ
δμαθέντας γὰρ ἀνίστη,
πρὶν αὐτὸν εἷλε διόβολον
πλᾶκτρον πυρὸς κεραυνίου.
νῦν δὲ τίν' ἐπὶ βίον
ἐλπίδα προσδέχωμαι;
πάντα γὰρ ἤδη τετέλεσται
βασιλεῦσιν,

116. 'Αμμωνίδας Musgravius. Libri ἀμμωνιάδας. 'Αμμωνίδας ἕδραι Elect. 734.

117. παραλύσαι Matthiæ. Libri παραλῦσαι. ῆ

118. ψυχάν] ψυχῆς A. ψυχᾶς H. Genitivum legit etiam scholiasta.

ἀπότομος Blomfieldus. Libri ἄποτμος.

120. ἐπὶ A. Scribebatur 'πὶ. Notanda autem in stropha et antistropho anceps in fine dochmii syllaba ante clausulam choriambicam.

123. ὄμμασιν] ὄμμασι A.H. et edd. veteres.

125. σκοτίας A.H. Legebatur σκοτίους.

126. ᾍδα] ἀΐδα A.

καὶ ego addidi.

129. πλᾶκτρον] πλῆκτρον A.H. et Florentini duo, quorum in altero πλῆκτον.

130. τίν' ἐπὶ βίον Seidler. de vers. dochm. p. 227. τίν' ἔτι βίου A.H. τίν' ἐπὶ βίου cod. Paris. et Florentini tres. τίνα βίον Lasc. τίνα βίου Ald.

131. προσδέχωμαι Musgravius. Libri προσδέχομαι.

133. βασιλεῦσι (nam sic codd.) in libris male conjungitur cum versu præcedente. Vid. ad v. 106.

πάντων δὲ θεῶν ἐπὶ βωμοῖς
αἱμόρραντοι θυσίαι πλήρεις,
οὐδ' ἔστι κακῶν ἄκος οὐδέν.
ἀλλ' ἥδ' ὀπαδῶν ἐκ δόμων τις ἔρχεται
δακρυρροοῦσα· τίνα τύχην ἀκούσομαι;
πενθεῖν μέν, εἴ τι δεσπόταισι τυγχάνει,
συγγνωστόν· εἰ δ' ἔτ' ἐστὶν ἔμψυχος γυνὴ
εἴτ' οὖν ὄλωλεν εἰδέναι βουλοίμεθ' ἄν.

ΘΕΡΑΠΑΙΝΑ.

καὶ ζῶσαν εἰπεῖν καὶ θανοῦσαν ἔστι σοι.

ΧΟΡΟΣ.

καὶ πῶς ἂν αὐτὸς κατθάνοι τε καὶ βλέποι;

ΘΕΡΑΠΑΙΝΑ.

ἤδη προνωπής ἐστι καὶ ψυχορραγεῖ.

ΧΟΡΟΣ.

ὦ τλῆμον, οἵας οἷος ὢν ἁμαρτάνεις.

ΘΕΡΑΠΑΙΝΑ.

οὔπω τόδ' οἶδε δεσπότης, πρὶν ἂν πάθῃ.

ΧΟΡΟΣ.

ἐλπὶς μὲν οὐκέτ' ἐστὶ σῴζεσθαι βίον;

ΘΕΡΑΠΑΙΝΑ.

πεπρωμένη γὰρ ἡμέρα βιάζεται.

ΧΟΡΟΣ.

οὔκουν ἐπ' αὐτῇ πράσσεται τὰ πρόσφορα;

136. οὐδ'] ἀλλ' οὐδ' A.H.
137. Χορός præfixum in A.
ὑπαδῶν] ὀπαδῶν A.
ἐκ δόμων] ἐκποδὼν H.
140. βουλοίμεθ' ἄν] βουλοίμεθα A.H.
Versus 141 deest in H. ab recentiori manu adscriptum habet A.
142. αὐτὸς] αὐτὸς A.H. ὡὐτὸς Ald.
βλέποι] βλέπει A.
145. πάθῃ Blomfieldus. Libri πάθοι.
146. σῴζεσθαι A.H. et Florentini duo, tertius σώσεσθαι. Legebatur σώσασθαι.
148. οὔκουν Elmsleius. Libri οὐκοῦν.
αὐτῇ] αὐτῆς Lasc. Ald. et cod. Flor. unus: alius αὐτήν.

ΘΕΡΑΠΑΙΝΑ.

κόσμος γ' ἕτοιμος, ᾧ σφε συνθάψει πόσις.

ΧΟΡΟΣ.

ἴστω νυν εὐκλεής γε κατθανουμένη
γυνή τ' ἀρίστη τῶν ὑφ' ἡλίῳ μακρῷ.

ΘΕΡΑΠΑΙΝΑ.

πῶς δ' οὐκ ἀρίστη; τίς δ' ἐναντιώσεται;
τί χρὴ γενέσθαι τὴν ὑπερβεβλημένην
γυναῖκα; πῶς δ' ἂν μᾶλλον ἐνδείξαιτό τις
πόσιν προτιμῶσ' ἢ θέλουσ' ὑπερθανεῖν;
καὶ ταῦτα μὲν δὴ πᾶσ' ἐπίσταται πόλις·
ἃ δ' ἐν δόμοις ἔδρασε θαυμάσει κλύων.
ἐπεὶ γὰρ ᾔσθεθ' ἡμέραν τὴν κυρίαν
ἥκουσαν, ὕδασι ποταμίοις λευκὸν χρόα
ἐλούσατ', ἐκ δ' ἑλοῦσα κεδρίνων δόμων
ἐσθῆτα κόσμον τ' εὐπρεπῶς ἠσκήσατο,
καὶ στᾶσα πρόσθεν ἑστίας κατηύξατο,
δέσποιν', ἐγὼ γὰρ ἔρχομαι κατὰ χθονὸς,
πανύστατόν σε προσπίτνουσ' αἰτήσομαι,
τέκν' ὀρφανεῦσαι τἀμὰ, καὶ τῷ μὲν φίλην
σύζευξον ἄλοχον, τῇ δὲ γενναῖον πόσιν.
μηδ' ὥσπερ αὐτῶν ἡ τεκοῦσ' ἀπόλλυμαι
θανεῖν ἀώρους παῖδας, ἀλλ' εὐδαίμονας
ἐν γῇ πατρῴᾳ τερπνὸν ἐκπλῆσαι βίον.
πάντας δὲ βωμοὺς οἳ κατ' Ἀδμήτου δόμους
προσῆλθε κἀξέστεψε καὶ προσηύξατο,

149. *συνθάψει*] *συνθάψοι* H.

151. *μακρῷ*] *μακρῶν* A. et Flor. unus.

157. *θαυμάσει*] *θαυμάσῃ* A. et Ald.

158. *ᾔσθεθ'*] *ᾔσθεσθ'* A.

162 et 171. *κατηύξατο* et *προσηύξατο* A. non *κατεύξατο* et *προσεύξατο*, quod Matthiæ tacite posuit.

164. *προσπίτνουσ'* Monkius. Libri *προσπιτνοῦσ'*.

πτόρθων ἀποσχίζουσα μυρσίνης φόβην,
ἄκλαυστος, ἀστένακτος, οὐδὲ τοὐπιὸν
κακὸν μεθίστη χρωτὸς εὐειδῆ φύσιν.
κἄπειτα θάλαμον ἐσπεσοῦσα καὶ λέχος,
ἐνταῦθα δὴ 'δάκρυσε καὶ λέγει τάδε,
ὦ λέκτρον, ἔνθα παρθένει' ἔλυσ' ἐγὼ
κορεύματ' ἐκ τοῦδ' ἀνδρὸς, οὗ θνήσκω πέρι,
χαῖρ'· οὐ γὰρ ἐχθαίρω σ'· ἀπώλεσας δέ με
μόνην· προδοῦναι γάρ σ' ὀκνοῦσα καὶ πόσιν
θνήσκω. σὲ δ' ἄλλη τις γυνὴ κεκτήσεται,
σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
κυνεῖ δὲ προσπίτνουσα, πᾶν δὲ δέμνιον
ὀφθαλμοτέγκτῳ δεύεται πλημμυρίδι.
ἐπεὶ δὲ πολλῶν δακρύων εἶχεν κόρον,
στείχει προνωπὴς ἐκπεσοῦσα δεμνίων,
καὶ πολλὰ θάλαμον ἐξιοῦσ' ἐπεστράφη,
κἄρριψεν αὑτὴν αὖθις ἐς κοίτην πάλιν.
παῖδες δὲ πέπλων μητρὸς ἐξηρτημένοι
ἔκλαιον· ἡ δὲ λαμβάνουσ' ἐν ἀγκάλαις
ἠσπάζετ' ἄλλοτ' ἄλλον, ὡς θανουμένη.
πάντες δ' ἔκλαιον οἰκέται κατὰ στέγας
δέσποιναν οἰκτείροντες. ἡ δὲ δεξιὰν
προὔτειν' ἑκάστῳ, κοὔτις ἦν οὕτω κακὸς
ὃν οὐ προσεῖπε καὶ προσερρήθη πάλιν.
τοιαῦτ' ἐν οἴκοις ἐστὶν 'Αδμήτου κακά.

172. μυρσίνης] μυρρίνης H. μυρσινῶν Lasc. Ald.

175. ἐσπεσοῦσα] Libri εἰσπεσοῦσα.

176. 'δάκρυσε] δάκρυσε A.

183. προσπίτνουσα cod. Flor. unus. Vulgo προσπιτνοῦσα.

184. ὀφθαλμοτέκτῳ A.

185. εἶχεν] εἶχε A.

186. πνονωπὴς (προ above) A.

188. αὑτὴν] Libri αὐτήν. ἐς] εἰς A.

190. ἐν ἀγκάλαις] ἐς ἀγκάλας A.H. et Flor. duo.

194. προὔτειν'] πρότειν' A.

καὶ κατθανών τ' ἂν ὤλετ', ἐκφυγὼν δ' ἔχει
τοσοῦτον ἄλγος, οὗ ποτ' οὐ λελήσεται.

ΧΟΡΟΣ.

ἦ που στενάζει τοισίδ' Ἄδμητος κακοῖς,
ἐσθλῆς γυναικὸς εἰ στερηθῆναί σφε χρή;

ΘΕΡΑΠΑΙΝΑ.

κλαίει γ', ἄκοιτιν ἐν χεροῖν φίλην ἔχων,
καὶ μὴ προδοῦναι λίσσεται, τἀμήχανα
ζητῶν· φθίνει γὰρ καὶ μαραίνεται νόσῳ
παρειμένη γε, χειρὸς ἄθλιον βάρος.
ὅμως δὲ καίπερ σμικρὸν ἐμπνέουσ' ἔτι
βλέψαι πρὸς αὐγὰς βούλεται τὰς ἡλίου.
ἀλλ' εἶμι καὶ σὴν ἀγγελῶ παρουσίαν·
οὐ γάρ τι πάντες εὖ φρονοῦσι κοιράνοις,
ὥστ' ἐν κακοῖσιν εὐμενεῖς παρεστάναι.
σὺ δ' εἶ παλαιὸς δεσπόταις ἐμοῖς φίλος.

ΗΜΙΧΟΡΙΟΝ.

ἰὼ Ζεῦ, τίς ἂν πόρος κακῶν
γένοιτο καὶ λύσις τύχας ἃ πάρεστι κοιράνοις;

199. *τοίσιδ'*] *τοῖσι δ'* A.

200. *εἰ—σφε*] *ἧς—γε* A.H.

201. *φίλην*] *φίλαν* (η) H.

204. *γε* Matthiæ. Libri *δὲ*.

Post 206. legebantur versus duo,

ὡς οὔποτ' αὖθις, ἀλλὰ νῦν πανύστατον
ἀκτῖνα κύκλον θ' ἡλίου προσόψεται.

Quos ex Hecuba 415, 416. male huc illatos esse animadvertit Valckenarius.

213—225=226—237.

213—216. in libris choro tribuuntur.

213. *τίς ἂν πόρος* Musgravius. *τίς ἂν πῶς πᾶ πόρος* A.H. *τίς ἂν πᾶ πόρος* Lasc. cum Flor. duobus totidemque Parisinis. *τίς ἄν πως πόρος* Ald. et Flor. unus. Restitui cum Musgravio usitatum tragicis metrum

⏑ ⏑́ – | ⏑ ⏑́ ⏑ – ⏑ –

Scholiasta, *τίς ἂν πόρος τῶν κακῶν ἡμῖν γένοιτο, ἢ πῶς, ἢ ποῦ.* Ex quo Matthiæ recte colligit triplicem in codicibus inventam fuisse lectionem, *τίς, πῶς, πᾶ*: quarum duæ postremæ metro adversantur.

214. In duo versus dividebatur *γένοιτο καὶ λύσις τύχας* | *ἃ πάρεστι κοιράνοις*, pariterque in antistropho.

ΗΜΙΧΟΡΙΟΝ.

ἔξεισί τις; ἢ τέμω τρίχα,
καὶ μέλανα στολμὸν πέπλων ἀμφιβαλώμεθ' ἤδη;

ΗΜΙΧΟΡΙΟΝ.

δῆλα μέν, φίλοι, δῆλά γ', ἀλλ' ὅμως 217
θεοῖσιν εὐχώμεσθα· θεῶν γὰρ δύναμις μεγίστα.

ΗΜΙΧΟΡΙΟΝ.

ὦναξ Παιάν,
ἔξευρε μηχανάν τιν' Ἀδμήτῳ κακῶν,
πόριζε δὴ πόριζε· καὶ πάρος γὰρ
τοῦδ' ἐφεῦρες, καὶ νῦν
λυτήριος ἐκ θανάτου γενοῦ,
φόνιόν τ' ἀπόπαυσον Ἅιδαν.

ΗΜΙΧΟΡΙΟΝ.

παπαῖ * * * * *
ὦ παῖ Φέρητος, οἷ' ἔπραξας δάμαρτος σᾶς στερείς.

215. τέμω Hermannus. Libri τεμῶ, nisi quod τέμῶν H.

217—225. θεραπαίνῃ tribuebantur, cujus personæ notam delendam esse vidit Monkius omittitque A.

217. δῆλά γ'] δῆλα δ' A.H.

219. εὐχώμεσθα] ἐχώμεθα A. H. εὐχώμεθα Lasc. Ald. εὐχώμεσθα Florentini duo.

γὰρ male deleverunt critici non animadverso antistrophici versus vitio.

δύναμις A.H. Legebatur ἁ δύναμις.

μεγίστα] μεγίστη H.

221. μηχανάν τιν'] μηχανὴν ἥντιν' A.

223. τοῦδ' ἐφεῦρες, καὶ νῦν] His verbis in antistropho respondet penthemimeres iambicum. Ex quo sequitur τοῦδ' (τοῦτ' H. τῶν δ' Flor. unus. τῷδ' Heathius) ἐφεῦρες ab librario esse illata non metrum sed sensum utcunque restituente, quum verbum vel verba poetæ excidissent, quod etiam paullo post accidit v. 226. et v. 877.

225. τ'] δ' A.H. et Flor. duo.

226—242. in libris choro tribuuntur.

226. παπαῖ ὦ παῖ φέρητος edidi ex A.H. Florentinis tribus et Parisino uno, correcto accentu παπαὶ additisque lacunæ signis. Lasc. Ald. et Flor. unus παῖ. παῖ. φεῦ. φεῦ. ἰώ. ἰώ. παῖ φέρητος uno versu: in quibus si quid veri est, quod equidem non puto, metrum sic expleri potest

παπαῖ φεῦ, παπαῖ, ἰὼ ἰώ.
ὦ παῖ——.

ΗΜΙΧΟΡΙΟΝ.

ἆρ' ἄξια καὶ σφαγᾶς τάδε,
καὶ πλέον ἢ βρόχῳ δέρην οὐρανίῳ πελάσσαι;

ΗΜΙΧΟΡΙΟΝ.

τὰν γὰρ οὐ φίλαν, ἀλλὰ φιλτάταν
γυναῖκα κατθανοῦσαν εἰν ἤματι τῷδ' ἐπόψει.

ΗΜΙΧΟΡΙΟΝ.

ἰδοὺ ἰδού,
ἥδ' ἐκ δόμων δὴ καὶ πόσις πορεύεται.
βόασον ὦ, στέναξον ὦ Φεραία
χθών, τὰν ἀρίσταν
γυναῖκα μαραινομέναν νόσῳ
κατὰ γᾶς, χθόνιον παρ' Ἅιδαν.

ΧΟΡΟΣ.

οὔποτε φήσω γάμον εὐφραίνειν
πλέον ἢ λυπεῖν, τοῖς τε πάροιθεν
τεκμαιρόμενος καὶ τάσδε τύχας
λεύσσων βασιλέως, ὅστις ἀρίστης

228. στερείς Monkius. Libri στερηθείς.

229. ἆρ' Hermannus. αἶ αἶ αἶ αἶ A. αἶ quater H. et Florentini duo, alius ter.

230. πελάσσαι Erfurdtius. Libri πελάσαι.

231. φιλτάταν] φιλτάτην Lasc. Ald.

232. Legebatur ἐν. Restitui εἰν. Infra 436. χαίρουσά μοι εἰν Ἀΐδα δόμοισιν. Soph. Antig. 1241. τέλη λαχὼν δείλαιος εἰν (codd. antiqui ἐν) Ἅιδου δόμοις. unde Eurip. Herc. Fur. 619. probabiliter restituitur, Θησέα κομίζων ἐχρόνισ' εἰν (libri ἐν) Ἅιδου, πάτερ. Philoctet. 685. ἀλλ' ἴσος εἰν ἴσοις ἀνήρ scripsi in Poetis Scenicis: nam hic quoque libri ἐν. Ad hæc accedunt duo exempla formæ disyllabæ εἰνί, quam Euripidi restitui Heraclid. 893. λωτοῦ χάρις εἰνὶ (vulgo ἐνὶ) δαιτί, et restituere debebam Hippol. 734. θεὸς ἐν ποταναῖς ἀγέλαισιν θείη, ubi versus antistrophicus 744. ἵν' ὁ ποντομέδων πορφυρέας λίμνας, veram scripturam monstrat, θεὸς εἰνὶ ποταναῖς ἀγέλαις θείη.

ἅματι] ἤματι A.

ἐπόψει A.H. et Florentini tres. Alii ἐσόψει.

236. τὰν ἀρίσταν] τὰν ἀρίστα (sic) A.

237. κατὰ γᾶς A.H. Vulgo κατὰ γᾶν.

238. πάροιθεν] πάροιθε A.

ἀπλακὼν ἀλόχου τῆσδ' ἀβίωτον
τὸν ἔπειτα χρόνον βιοτεύσει.

ΑΛΚΗΣΤΙΣ.

Ἅλιε καὶ φάος ἁμέρας,
οὐράνιαί τε δῖναι νεφέλας δρομαίου,

ΑΔΜΗΤΟΣ.

ὁρᾷ σε κἀμέ, δύο κακῶς πεπραγότας,
οὐδὲν θεοὺς δράσαντας ἀνθ' ὅτου θανεῖ.

ΑΛΚΗΣΤΙΣ.

γαῖά τε καὶ μελάθρων στέγαι
νυμφίδιοί τε κοῖται πατρῴας Ἰωλκοῦ.

ΑΔΜΗΤΟΣ.

ἔπαιρε σαυτήν, ὦ τάλαινα, μὴ προδῷς·
λίσσου δὲ τοὺς κρατοῦντας οἰκτεῖραι θεούς.

ΑΛΚΗΣΤΙΣ.

ὁρῶ δίκωπον ὁρῶ σκάφος, νεκύων δὲ πορθμεὺς
ἔχων χέρ' ἐπὶ κοντῷ Χάρων μ' ἤδη καλεῖ· τί μέλλεις;
ἐπείγου· σὺ κατείργεις. τάδε τοί με σπερχόμενος ταχύνει.

ΑΔΜΗΤΟΣ.

οἴμοι· πικράν γε τήνδε μοι ναυκληρίαν
ἔλεξας. ὦ δύσδαιμον, οἷα πάσχομεν.

241. *ἀπλακὼν* Wakefieldus. Libri *ἀμπλακὼν* (*ἀμπλακῶν* A.)

243—246=247—251.

244. Recte edd. veteres uno versu *οὐράνιαι τε δῖναι νεφέλας δρομαίου*: qui dochmius est cum clausula choriambica. Male recentiores edd. *οὐράνιαί τε δῖναι* | *νεφέλας δρομαίου* eodem errore quo in libris versus 249. in duo est dissectus *νυμφίδιοί τε κοῖται* | *πατρῴας Ἰωλκοῦ*.

246. *θανεῖ*] *θανῇ* A.

249. *νυμφίδιοι* A.H. et Florentini tres. Vulgo *νυμφίδιαι*. Infra 885. *νυμφιδίους εὐνάς*. Aristoph. Av. 1729. *νυμφιδίοισι δέχεσθ' ᾠδαῖς*.

252—258=259—265.

252. *σκάφος*] *ἐν λίμνᾳ* addunt A.H. et reliqui MSS. Omisit Ald.

254. *χέρ'* Ald. *χεῖρ'* A.H. et Flor. tres.

255. *τάδε τοί με* A. et Parisinus unus. *τάδ' ἕτοιμα* Lasc. Ald. *τάδε τί με* H. et Flor. duo. *τάδε τοῖά με* Flor. unus et Paris. unus. Interpunctio in libris aliis alia est.

ΑΛΚΗΣΤΙΣ.

ἄγει μ' ἄγει μέ τις, οὐχ ὁρᾷς; νεκύων ἐς αὐλὰν
ὑπ' ὀφρύσι κυαναυγέσι βλέπων πτερωτὸς Ἅιδας.
τί ῥέξεις; ἄφες. οἵαν ὁδὸν ἁ δειλαιοτάτα προβαίνω.

ΑΔΜΗΤΟΣ.

οἰκτρὰν φίλοισιν, ἐκ δὲ τῶν μάλιστ' ἐμοὶ
καὶ παισὶν, οἷς δὴ πένθος ἐν κοινῷ τόδε.

ΑΛΚΗΣΤΙΣ.

μέθετε μέθετέ μ' ἤδη.
κλίνατ', οὐ σθένω ποσί·
πλησίον Ἅιδας·
σκοτία δ' ἐπ' ὄσσοις νὺξ ἐφέρπει.
τέκνα τέκν', οὐκέτι οὐκέτι μάτηρ σφῷν [ἔστιν].
χαίροντες, ὦ τέκνα, τόδε φάος ὁρῷτον.

ΑΔΜΗΤΟΣ.

οἴμοι· τόδ' ἔπος λυπρὸν ἀκούω
καὶ παντὸς ἐμοὶ θανάτου μεῖζον.
μὴ πρός σε θεῶν τλῇς με προδοῦναι,
μὴ πρὸς παίδων, οὓς ὀρφανιεῖς,
ἀλλ' ἄνα τόλμα·
σοῦ γὰρ φθιμένης οὐκέτ' ἂν εἴην·

259. με om. A.H. Iidem εἰς pro ἐς.

261. Ἅιδας] μέθες με add. A.H.

262. ῥέξεις] πράξεις A.H.

266. μέθετέ με, μέθετέ μ' ἤδη A.H.

267. κλίνατ', οὐ A.H. Vulgo κλίνατέ μ', οὐ.

ποσί] πόσι A.

269. ὄσσοις A. et Flor. unus. Alius cum H. ὄσοις, tertius ὄσσοισιν. Vulgo ὄσσοισι.

270. Vulgo in duo versus distribuitur, τέκνα τέκν', οὐκέτι δὴ | οὐκέτι δὴ μάτηρ σφῷν ἔστιν. Alterum δὴ om. A.H. et quattuor alii codd. Ego utrumque delevi et ἔστιν (ἐστὶ A.) seclusi, quod ab interprete additum ut v. 992.

272. ὁρῷτον] ὁρῴτην Monkius cum Elmsleio.

275. πρός σε θεῶν Porsonus. πρὸς θεῶν A.H. aliique codd. πρὸς τῶν θεῶν Ald.

ἐν σοὶ δ' ἐσμὲν καὶ ζῆν καὶ μή·
σὴν γὰρ φιλίαν σεβόμεσθα.

ΑΛΚΗΣΤΙΣ.

Ἄδμηθ', ὁρᾷς γὰρ τἀμὰ πράγμαθ' ὡς ἔχει,
λέξαι θέλω σοι πρὶν θανεῖν ἃ βούλομαι.
ἐγώ σε πρεσβεύουσα κἀντὶ τῆς ἐμῆς
ψυχῆς καταστήσασα φῶς τόδ' εἰσορᾶν,
θνήσκω, παρόν μοι μὴ θανεῖν ὑπὲρ σέθεν,
ἀλλ' ἄνδρα τε σχεῖν Θεσσαλῶν ὃν ἤθελον,
καὶ δῶμα ναίειν ὄλβιον τυραννίδι,
οὐκ ἠθέλησα ζῆν ἀποσπασθεῖσά σου
σὺν παισὶν ὀρφανοῖσιν· οὐδ' ἐφεισάμην,
ἥβης ἔχουσα δῶρ', ἐν οἷς ἐτερπόμην.
καίτοι σ' ὁ φύσας χἡ τεκοῦσα προὔδοσαν,
καλῶς μὲν αὐτοῖς κατθανεῖν ἧκον βίου,
καλῶς δὲ σῶσαι παῖδα κεὐκλεῶς θανεῖν.
μόνος γὰρ αὐτοῖς ἦσθα, κοὔτις ἐλπὶς ἦν
σοῦ κατθανόντος ἄλλα φιτύσειν τέκνα.
κἀγώ τ' ἂν ἔζων καὶ σὺ τὸν λοιπὸν χρόνον,
κοὐκ ἂν μονωθεὶς σῆς δάμαρτος ἔστενες,
καὶ παῖδας ὠρφάνευες. ἀλλὰ ταῦτα μὲν
θεῶν τις ἐξέπραξεν ὥσθ' οὕτως ἔχειν.
εἶεν· σύ νύν μοι τῶνδ' ἀπόμνησαι χάριν·
αἰτήσομαι γάρ σ' ἀξίαν μὲν οὔποτε·
ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον·
δίκαια δ', ὡς φήσεις σύ· τούσδε γὰρ φιλεῖς

285. *Θεσσαλῶν*] *θεσσαλὸν* A. H.

295. *ἔζων* A.H. tres alii *ἔζῆν*. *ἔζην* Lasc. Ald. et Etym. M. p. 413, 8. ubi *κἀγώ γ' ἂν ἔζην*. Infra 651. *κἀγώ τ' ἂν ἔζων χἤδε τὸν λοιπὸν χρόνον*, libri Flor. tres *ἔζην*.

298. *ἐξέπραξεν*] *ἔπραξεν* A. Tres Flor. *εἰδέπραξεν*.

299. *σύ νύν μοι*] *σὺ νῦν μοι* A. H. Alii *σύ μοι νῦν*.

οὐχ ἧσσον ἢ 'γὼ παῖδας, εἴπερ εὖ φρονεῖς·
τούτους ἀνάσχου δεσπότας ἐμῶν δόμων,
καὶ μὴ 'πιγήμης τοῖσδε μητρυιὰν τέκνοις,
ἥτις κακίων οὖσ' ἐμοῦ γυνὴ φθόνῳ
τοῖς σοῖσι κἀμοῖς παισὶ χεῖρα προσβαλεῖ.
μὴ δῆτα δράσῃς ταῦτά γ', αἰτοῦμαί σ' ἐγώ.
ἐχθρὰ γὰρ ἡ 'πιοῦσα μητρυιὰ τέκνοις
τοῖς πρόσθ', ἐχίδνης οὐδὲν ἠπιωτέρα.
καὶ παῖς μὲν ἄρσην πατέρ' ἔχει πύργον μέγαν,
σὺ δ' ὦ τέκνον μοι πῶς κορευθήσει καλῶς;
ποίας τυχοῦσα συζύγου τῷ σῷ πατρί;
μή σοί τιν' αἰσχρὰν προσβαλοῦσα κληδόνα
ἥβης ἐν ἀκμῇ σοὺς διαφθείρῃ γάμους.
οὐ γάρ σε μήτηρ οὔτε νυμφεύσει ποτὲ
οὔτ' ἐν τόκοισι σοῖσι θαρσυνεῖ, τέκνον,
παροῦσ', ἵν' οὐδὲν μητρὸς εὐμενέστερον.
δεῖ γὰρ θανεῖν με· καὶ τόδ' οὐκ εἰς αὔριον
οὐδ' ἐς τρίτην μοι μηνὸς ἔρχεται κακὸν,
ἀλλ' αὐτίκ' ἐν τοῖς μηκέτ' οὖσι λέξομαι.
χαίροντες εὐφραίνοισθε· καὶ σοὶ μὲν, πόσι,
γυναῖκ' ἀρίστην ἔστι κομπάσαι λαβεῖν,
ὑμῖν δὲ, παῖδες, μητρὸς ἐκπεφυκέναι.

ΧΟΡΟΣ.

θάρσει· πρὸ τούτου γὰρ λέγειν οὐχ ἅζομαι·
δράσει τάδ', εἴπερ μὴ φρενῶν ἁμαρτάνει.

310. ἠπιωτέρα] ἠπιωτέρα A.
Post 311. in libris sequitur versus ex 195. repetitus, ὃν καὶ προσεῖπε καὶ προσερρήθη πάλιν, notatus a Piersono.
313. κορευθήσει] κορευθήσῃ A. et edd. veteres.
318. σοῖσι] τοῖσι σοῖσι A.H. omisso τέκνον.
320. εἰς A. et Ald. ἐς M.
321. ἐς] εἰς A.H.
322. μηκέτ' A.H. et Flor. tres. Legebatur οὐκέτ'.
326. οὐχ ἅζομαι Barnesius. Libri οὐ χάζομαι.
327. εἴπερ—ἁμαρτάνει A.H. et

ΑΔΜΗΤΟΣ.

ἔσται τάδ᾽ ἔσται, μὴ τρέσῃς· ἐπεί σ᾽ ἐγὼ
καὶ ζῶσαν εἶχον καὶ θανοῦσ᾽ ἐμὴ γυνὴ
μόνη κεκλήσει, κοὔτις ἀντὶ σοῦ ποτε
τόνδ᾽ ἄνδρα νύμφη Θεσσαλὶς προσφθέγξεται·
οὐκ ἔστιν οὕτως οὔτε πατρὸς εὐγενοῦς
οὔτ᾽ εἶδος ἄλλως ἐκπρεπεστάτη γυνή.
ἅλις δὲ παίδων τῶνδ᾽ ὄνησιν εὔχομαι
θεοῖς γενέσθαι· σοῦ γὰρ οὐκ ὠνήμεθα.
οἴσω δὲ πένθος οὐκ ἐτήσιον τὸ σὸν,
ἀλλ᾽ ἔς τ᾽ ἂν αἰὼν οὑμὸς ἀντέχῃ, γύναι,
στυγῶν μὲν ἥ μ᾽ ἔτικτεν, ἐχθαίρων δ᾽ ἐμὸν
πατέρα· λόγῳ γὰρ ἦσαν οὐκ ἔργῳ φίλοι.
σὺ δ᾽ ἀντιδοῦσα τῆς ἐμῆς τὰ φίλτατα
ψυχῆς ἔσωσας. ἆρά μοι στένειν πάρα
τοιᾶσδ᾽ ἁμαρτάνοντι συζύγου σέθεν;
παύσω δὲ κώμους συμποτῶν θ᾽ ὁμιλίας
στεφάνους τε μοῦσάν θ᾽, ἣ κατεῖχ᾽ ἐμοὺς δόμους.
οὐ γάρ ποτ᾽ οὔτ᾽ ἂν βαρβίτου θίγοιμ᾽ ἔτι
οὔτ᾽ ἂν φρέν᾽ ἐξαίροιμι πρὸς Λίβυν λακεῖν
αὐλόν· σὺ γάρ μου τέρψιν ἐξείλου βίου.
σοφῇ δὲ χειρὶ τεκτόνων δέμας τὸ σὸν
εἰκασθὲν ἐν λέκτροισιν ἐκταθήσεται,
ᾧ προσπεσοῦμαι καὶ περιπτύσσων χέρας
ὄνομα καλῶν σὸν τὴν φίλην ἐν ἀγκάλαις
δόξω γυναῖκα καίπερ οὐκ ἔχων ἔχειν,
ψυχρὰν μὲν, οἶμαι, τέρψιν, ἀλλ᾽ ὅμως βάρος

Flor. duo. Legebatur ἥνπερ—ἁμαρτάνῃ.

330. κεκλήσει] κεκλήσῃ A. et edd. veteres.

333. ἐκπρεπεστάτη] εὐπρεπεστάτη A.H.

336. τὸ σὸν] τόδε Ald.

344. κατεῖχ᾽] κατεῖχεν A.

ψυχῆς ἀπαντλοίην ἄν· ἐν δ' ὀνείρασι
φοιτῶσά μ' εὐφραίνοις ἄν.. ἡδὺ γὰρ φίλους
κἀν νυκτὶ λεύσσειν, ὅντιν' ἂν παρῇ χρόνον.
εἰ δ' Ὀρφέως μοι γλῶσσα καὶ μέλος παρῆν,
ὥστ' ἢ κόρην Δήμητρος ἢ κείνης πόσιν
ὕμνοισι κηλήσαντά σ' ἐξ Ἅιδου λαβεῖν,
κατῆλθον ἄν, καί μ' οὔθ' ὁ Πλούτωνος κύων
οὔθ' οὑπὶ κώπῃ ψυχοπομπὸς ἂν Χάρων
ἔσχον, πρὶν ἐς φῶς σὸν καταστῆσαι βίον.
ἀλλ' οὖν ἐκεῖσε προσδόκα μ', ὅταν θάνω,
καὶ δῶμ' ἑτοίμαζ', ὡς συνοικήσουσά μοι.
ἐν ταῖσιν αὐταῖς γάρ μ' ἐπισκήψω κέδροις
σοὶ τούσδε θεῖναι πλευρά τ' ἐκτεῖναι πέλας
πλευροῖσι τοῖς σοῖς· μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἴην τῆς μόνης πιστῆς ἐμοί.

ΧΟΡΟΣ.

καὶ μὴν ἐγώ σοι πένθος ὡς φίλος φίλῳ
λυπρὸν συνοίσω τῆσδε· καὶ γὰρ ἀξία.

ΑΛΚΗΣΤΙΣ.

ὦ παῖδες, αὐτοὶ δὴ τάδ' εἰσηκούσατε
πατρὸς λέγοντος μὴ γαμεῖν ἄλλην ποτὲ
γυναῖκ' ἐφ' ὑμῖν, μηδ' ἀτιμάσειν ἐμέ.

ΑΔΜΗΤΟΣ.

καὶ νῦν γέ φημι, καὶ τελευτήσω τάδε.

ΑΛΚΗΣΤΙΣ.

ἐπὶ τοῖσδε παῖδας χειρὸς ἐξ ἐμῆς δέχου.

354. ἀπαντλοίην] ἀπαντλείην A.
355. φίλους A.H. Reliqui codd. φίλοις præter Flor. unum, qui φίλος præbet.
362. ἐς] εἰς A.
372. ποτὲ] τινὰ A.H. et Flor. tres.

ΑΔΜΗΤΟΣ.
δέχομαι, φίλον γε δῶρον ἐκ φίλης χερός.
ΑΛΚΗΣΤΙΣ.
σὺ νῦν γενοῦ τοῖσδ' ἀντ' ἐμοῦ μήτηρ τέκνοις.
ΑΔΜΗΤΟΣ.
πολλή γ' ἀνάγκη σοῦ γ' ἀπεστερημένοις.
ΑΛΚΗΣΤΙΣ.
ὦ τέκν', ὅτε ζῆν χρῆν μ', ἀπέρχομαι κάτω.
ΑΔΜΗΤΟΣ.
οἴμοι, τί δράσω δῆτα σοῦ μονούμενος;
ΑΛΚΗΣΤΙΣ.
χρόνος μαλάξει σ'· οὐδέν ἐσθ' ὁ κατθανών.
ΑΔΜΗΤΟΣ.
ἄγου με σύν σοι πρὸς θεῶν ἄγου κάτω.
ΑΛΚΗΣΤΙΣ.
ἀρκοῦμεν ἡμεῖς οἱ προθνήσκοντες σέθεν.
ΑΔΜΗΤΟΣ.
ὦ δαῖμον, οἵας συζύγου μ' ἀποστερεῖς.
ΑΛΚΗΣΤΙΣ.
καὶ μὴν σκοτεινὸν ὄμμα μου βαρύνεται.
ΑΔΜΗΤΟΣ.
ἀπωλόμην ἄρ', εἴ με δὴ λείψεις, γύναι.
ΑΛΚΗΣΤΙΣ.
ὡς οὐκέτ' οὖσαν οὐδὲν ἂν λέγοις ἐμέ.
ΑΔΜΗΤΟΣ.
ὄρθου πρόσωπον, μὴ λίπῃς παῖδας σέθεν.
ΑΛΚΗΣΤΙΣ.
οὐ δῆθ' ἑκοῦσά γ', ἀλλὰ χαίρετ', ὦ τέκνα.

379. χρῆν] χρή A.H. 386. ἄρ'] ἂν A.H.

ΑΔΜΗΤΟΣ.

βλέψον πρὸς αὐτοὺς βλέψον.

ΑΛΚΗΣΤΙΣ.

οὐδέν εἶμ' ἔτι.

ΑΔΜΗΤΟΣ.

τί δρᾷς; προλείπεις;

ΑΛΚΗΣΤΙΣ.

χαῖρ'.

ΑΔΜΗΤΟΣ.

ἀπωλόμην τάλας.

ΧΟΡΟΣ.

βέβηκεν, οὐκέτ' ἔστιν Ἀδμήτου γυνή.

ΕΥΜΗΛΟΣ.

ἰώ μοι τύχας. μαῖα δὴ κάτω
βέβακεν, οὐκέτ' ἔστιν, ὦ
πατέρ, ὑφ' ἁλίῳ.
προλιποῦσα δ' ἀμὸν βίον
ὠρφάνισεν τλάμων.
ἴδε γὰρ ἴδε βλέφαρον
καὶ παρατόνους χέρας.
ὑπάκουσον, ἄκουσον, ὦ μᾶτερ, ἀντιάζω,
ἐγώ σ' ἐγὼ, μᾶτερ,
* * καλοῦμαι ὁ
σὸς ποτὶ σοῖσι πίτνων στόμασιν νεοσσός.

391. προλείπεις] προλείπεις με A.H.

393—403=406—414.

394. βέβακεν A.H. aliique. βέβηκεν vulgo.

395. ἁλίῳ] ἀλίῳ A.H.

397. ὠρφάνισεν Monkius. Libri ὠρφάνισε.

400—402. ἀντιάζω σ' ἐγὼ μᾶτερ ἐγὼ καλοῦμαί σ' ὁ A.H. et Flor. quattuor. In Ald. ἀντιάζω. | ἐγώ σ' ἐγὼ μᾶτερ νῦν γε (νῦν γε om. Lasc.) καλοῦμαι | ὁ σὸς——. De libris Parisinis, quos negligenter collatos esse etiam aliis exemplis cognoscimus, tacet Musgravius.

403. πίτνων Monkius. Codices πιτνῶν. Ald. προσπιτνών.

στοuασιν Barnes. Libri στόμασι.

ΑΔΜΗΤΟΣ.

τήν γ᾽ οὐ κλύουσαν οὐδ᾽ ὁρῶσαν· ὥστ᾽ ἐγὼ
καὶ σφὼ βαρείᾳ συμφορᾷ πεπλήγμεθα.

ΕΥΜΗΛΟΣ.

νέος ἐγώ, πάτερ, λείπομαι φίλας
μονόστολός τε ματρός· ὦ
σχέτλια δὴ παθὼν
*ἐγὼ ἔργα * σύ τε,*
σύγκασί μοι κούρα,
** * συνέτλας·*
** * ὦ πάτερ,*
ἀνόνατ᾽ ἀνόνατ᾽ ἐνύμφευσας, οὐδὲ γήρως
ἔβας τέλος σὺν τᾷδ᾽·
ἔφθιτο γὰρ πάρος,
οἰχομένας δὲ σοῦ, μᾶτερ, ὄλωλεν οἶκος.

ΧΟΡΟΣ.

Ἄδμητ᾽, ἀνάγκη τάσδε συμφορὰς φέρειν·
οὐ γάρ τι πρῶτος οὐδὲ λοίσθιος βροτῶν
γυναικὸς ἐσθλῆς ἤμπλακες· γίγνωσκε δὲ
ὡς πᾶσιν ἡμῖν κατθανεῖν ὀφείλεται.

ΑΔΜΗΤΟΣ.

ἐπίσταμαί τε κοὐκ ἄφνω κακὸν τόδε
προσέπτατ᾽· εἰδὼς δ᾽ αὔτ᾽ ἐτειρόμην πάλαι.
ἀλλ᾽ ἐκφορὰν γὰρ τοῦδε θήσομαι νεκροῦ,

404. *τήν γ᾽* Hermannus. Aberat *γ᾽*.

406. *πάτερ, λείπομαι*] *λείπομαι πάτερ* A.H.

407. *τε* om. A.H. et Flor. tres.

409. *ἐγὼ* om. H.

410. *σύγκασί μοι* Hermannus. Libri *μοι σύγκασι*. Proximorum versuum lacunas notavit Hermannus.

412. *ἀνόνατα ἀνόνατα* A. *ἀνόνατα* semel H.

418. *γίγνωσκε*] *γίνωσκε* A.

420. *τε* A.H. et Flor. duo. *γε* vulgo.

421. *αὔτ᾽*] *αἶτ᾽* A.

πάρεστε καὶ μένοντες ἀντηχήσατε
παιᾶνα τῷ κάτωθεν ἀσπόνδῳ θεῷ.
πᾶσιν δὲ Θεσσαλοῖσιν ὧν ἐγὼ κρατῶ
πένθους γυναικὸς τῆσδε κοινοῦσθαι λέγω
κουρᾷ ξυρήκει καὶ μελαμπέπλῳ στολῇ·
τέθριππά θ' οἳ ζεύγνυσθε καὶ μονάμπυκας
πώλους, σιδήρῳ τέμνετ' αὐχένων φόβην.
αὐλῶν δὲ μὴ κατ' ἄστυ, μὴ λύρας κτύπος
ἔστω σελήνας δώδεκ' ἐκπληρουμένας·
οὐ γάρ τιν' ἄλλον φίλτερον θάψω νεκρὸν
τοῦδ' οὐδ' ἀμείνον' εἰς ἔμ'· ἀξία δέ μοι
τιμᾶν, ἐπεὶ τέθνηκεν ἀντ' ἐμοῦ μόνη.

ΧΟΡΟΣ.

ὦ Πελίου θύγατερ,
χαίρουσά μοι εἰν Ἀΐδα δόμοις
τὸν ἀνάλιον οἶκον οἰκετεύοις.
ἴστω δ' Ἀΐδας ὁ μελαγχαίτας θεὸς, ὅς τ' ἐπὶ κώπᾳ
πηδαλίῳ τε γέρων
νεκροπομπὸς ἵζει,

425. πᾶσιν] πᾶσι A.

426. πένθους A. et Flor. unus. Legebatur πένθος.

427. μελαμπέπλῳ στολῇ] μελαγχείμοις πέπλοις A.H. et, qui μελαγχίμοις præbent, Flor. duo. Quam lectionem jam ab aliis monitum est ex Phœnissarum versu ductam videri 372. κάρα ξύρηκες καὶ πέπλους μελαγχίμους.

428. τέθριππά θ' οἳ A.H. aliique codd. τέθριππά τε vulgo.

432. τιν'] τι' A.

434. τιμᾶν A.H. et Flor. tres. τιμῆς vulgo.

μόνη] μόνην A. et Flor. unus. λίαν H.

435—444=445—454.

435. ὦ] ἰὼ A.H. et Flor. tres.

436. εἰν] ἐν Flor. duo, Lasc. Ald.

Ἀΐδα] ἀΐδαο A.H. et quinque alii codd.

δόμοισι] δόμοις A.H. et Flor. unus.

437. οἰκετεύοις] ἱκετεύοις A.H.

438. ἀΐδας A.H. et Flor. unus. Vulgo Ἀΐδης.

439. κώπᾳ] κώπῃ A. et Flor. duo.

Male in libris versus divisi hic post μελαγχαίτας et 444. post πορεύσας.

πολὺ δὴ πολὺ δὴ γυναῖκ' ἀρίσταν
λίμναν 'Αχεροντίαν πορεύσας ἐλάτᾳ δικώπῳ.
πολλά σε μουσοπόλοι
μέλψουσι καθ' ἑπτάτονόν τ' ὀρείαν
χέλυν ἔν τ' ἀλύροις κλέοντες ὕμνοις,
Σπάρτᾳ κυκλὰς ἁνίκα Καρνείου περινίσσεται ὥρα
μηνὸς ἀειρομένας
παννύχου σελάνας,
λιπαραῖσί τ' ἐν ὀλβίαις 'Αθάναις.
τοίαν ἔλιπες θανοῦσα μολπὰν μελέων ἀοιδοῖς.
εἴθ' ἐπ' ἐμοὶ μὲν εἴη,
δυναίμαν δέ σε πέμψαι
φάος ἐξ 'Αΐδα τεράμνων
Κωκυτοῦ τε ῥεέθρων
ποταμίᾳ νερτέρᾳ τε κώπᾳ.
σὺ γὰρ, ὦ μόνα, ὦ φίλα γυναικῶν,
σὺ τὸν αὑτᾶς
ἔτλας πόσιν ἀντὶ σᾶς ἀμεῖψαι
ψυχᾶς ἐξ Ἅιδα. κούφα σοι
χθὼν ἐπάνωθε πέσοι, γύναι. εἰ δέ τι

442. Alterum δὴ om. H. et Lasc. Aristoph. Av. 542. πολὺ δὴ πολὺ δὴ χαλεπωτάτους λόγους ἤνεγκας.

446. ὀρείαν] οὐρείαν A.H. et Flor. tres. Iidem κοῦρος pro κόρος præbent v. 904.

447. κλέοντες Elmsleius. Legebatur κλείοντες. Iphig. Aul. 1046. τόν τ' Αἰακίδων Κενταύρων ἀν' ὄρος κλέουσαι. Sic recte Monkius. Libri κλύουσαι, Brodæus κλείουσαι. Fragm. Erechthei ap. Stobæum Floril. LV. 4. γῆρυν, ἃν σοφοὶ κλέονται.

449. κυκλὰς Scaliger. Libri κύκλος. περινίσσεται A.H. Alii libri περινίσεται vel περινείσεται.

455—465=466—475.

458. κωκυτοῦ τε H. et quinque alii codices. καὶ κωκυτοῦ τε A. καὶ κωκυτοῖο edd. veteres.

ῥεέθρων] ῥείθρων Parisini duo et Lasc.

461. Libri uno versu σὺ—ἀμεῖψαι.

αὑτᾶς Erfurdtius. Libri σαυτᾶς.

462. Ἅιδα] Codices, ut solent, ἀΐδα. ᾅδα Lasc. ᾅδαο Ald.

463, 464. In libris versus tres, χθὼν — | εἰ δέ — | ἢ —.

463. ἐπάνωθε Erfurdtius. Libri ἐπάνωθεν.

καινὸν ἕλοιτο λέχος πόσις, ἦ μάλ' ἔμοιγ' ἂν εἴη
στυγηθεὶς τέκνοις τε τοῖς σοῖς.
ματέρος οὐ θελούσας
πρὸ παιδὸς χθονὶ κρύψαι
δέμας, οὐδὲ πατρὸς γεραιοῦ,
* * *
ὃν ἔτεκον δ', οὐκ ἔτλαν ῥύεσθαι
σχετλίω, πολιὰν ἔχοντε χαίταν.
σὺ δ' ἐν ἥβᾳ
νέᾳ προθανοῦσα φωτὸς οἴχει.
τοιαύτας εἴη μοι κῦρσαι
συνδυάδος φιλίας ἀλόχου· τὸ γὰρ
ἐν βιότῳ σπάνιον μέρος· ἦ γὰρ ἔμοιγ' ἄλυπος
δι' αἰῶνος ἂν ξυνείη.

ΗΡΑΚΛΗΣ.

ξένοι, Φεραίας τῆσδε κωμῆται χθονὸς,
Ἄδμητον ἐν δόμοισιν ἆρα κιγχάνω;

ΧΟΡΟΣ.

ἔστ' ἐν δόμοισι παῖς Φέρητος, Ἡράκλεις.
ἀλλ' εἰπὲ χρεία τίς σε Θεσσαλῶν χθόνα
πέμπει, Φεραίων ἄστυ προσβῆναι τόδε.

464. λέχος πόσις A.H. et Flor. tres. Legebatur πόσις λέχος.

μάλ'] μάλ' ἂν A.H. et Flor. tres.

ἔμοιγ'] ἐμοί τ' Hermannus.

469. ῥύεσθαι A.H. et Flor. tres. Ceteri libri ῥύσασθαι.

471. νέᾳ A.H. et quattuor alii codd. Legebatur νέᾳ νέου.

οἴχει] οἴχῃ A. et edd. veteres.

472. μοι] με Lasc. Ald., non codices.

κῦρσαι] Libri κυρῆσαι. Correxit Musgravius.

473. φιλίας] φίλας Lasc. Ald.

τὸ Erfurdtius. Libri τοῦτο.

474. ἦ γὰρ ἂν ἔμοιγε ἄλυπος A. cum H. et Flor. duobus, nisi quod ex his ἐμοί γε affert Matthiæ.

477. κιγχάνω liber Victorianus. Ceteri omnes κιχάνω.

479. χθόνα] πόλιν Lasc. Ald.

480. Φεραίων] φεραῖον A.H. Lasc.

ΗΡΑΚΛΗΣ.

Τιρυνθίῳ πράσσω τιν' Εὐρυσθεῖ πόνον.

ΧΟΡΟΣ.

καὶ ποῖ πορεύει; τῷ προσέζευξαι πλάνῳ;

ΗΡΑΚΛΗΣ.

Θρῃκὸς τέτρωρον ἅρμα Διομήδους μέτα.

ΧΟΡΟΣ.

πῶς οὖν δυνήσει; μῶν ἄπειρος εἶ ξένου;

ΗΡΑΚΛΗΣ.

ἄπειρος· οὔπω Βιστόνων ἦλθον χθόνα.

ΧΟΡΟΣ.

οὐκ ἔστιν ἵππων δεσπόσαι σ' ἄνευ μάχης.

ΗΡΑΚΛΗΣ.

ἀλλ' οὐδ' ἀπειπεῖν τοὺς πόνους οἷόν τέ μοι.

ΧΟΡΟΣ.

κτανὼν ἄρ' ἥξεις ἢ θανὼν αὐτοῦ μενεῖς.

ΗΡΑΚΛΗΣ.

οὐ τόνδ' ἀγῶνα πρῶτον ἂν δράμοιμ' ἐγώ.

ΧΟΡΟΣ.

τί δ' ἂν κρατήσας δεσπότην πλέον λάβοις;

ΗΡΑΚΛΗΣ.

πώλους ἀπάξω κοιράνῳ Τιρυνθίῳ.

ΧΟΡΟΣ.

οὐκ εὐμαρὲς χαλινὸν ἐμβαλεῖν γνάθοις.

481. πόνον] πόνῳ A. et Flor. unus.

482. πορεύει] πορεύῃ A. et edd. veteres.

προσέζευξαι A.H. et quattuor alii. Legebatur συνέζευξαι.

484. δυνήσει] δυνήσῃ A. et edd. veteres.

487. τοὺς πόνους] τοῖς πόνοις A. H. et quattuor alii.

τέ μοι] τ' ἐμοί A.

488. μενεῖς] μένεις A.

491. κοιράνῳ Τιρυνθίῳ] τυράννῳ κορινθίῳ (τι above κο) H. non A.

ΗΡΑΚΛΗΣ.

εἰ μή γε πῦρ πνέουσι μυκτήρων ἄπο.

ΧΟΡΟΣ.

ἀλλ' ἄνδρας ἀρταμοῦσι λαιψηραῖς γνάθοις.

ΗΡΑΚΛΗΣ.

θηρῶν ὀρείων χόρτον, οὐχ ἵππων, λέγεις.

ΧΟΡΟΣ.

φάτνας ἴδοις ἂν αἵμασιν πεφυρμένας.

ΗΡΑΚΛΗΣ.

τίνος δ' ὁ θρέψας παῖς πατρὸς κομπάζεται;

ΧΟΡΟΣ.

Ἄρεως, ζαχρύσου Θρῃκίας πέλτης ἄναξ.

ΗΡΑΚΛΗΣ.

καὶ τόνδε τοὐμοῦ δαίμονος πόνον λέγεις,
σκληρὸς γὰρ ἀεὶ καὶ πρὸς αἶπος ἔρχεται,
εἰ χρή με παισὶν οὓς Ἄρης ἐγείνατο
μάχην συνάψαι, πρῶτα μὲν Λυκάονι,
αὖθις δὲ Κύκνῳ, τόνδε δ' ἔρχομαι τρίτον
ἀγῶνα πώλοις δεσπότῃ τε συμβαλῶν.
ἀλλ' οὔτις ἔστιν ὃς τὸν Ἀλκμήνης γόνον
τρέσαντα χεῖρα πολεμίων ποτ' ὄψεται.

ΧΟΡΟΣ.

καὶ μὴν ὅδ' αὐτὸς τῆσδε κοίρανος χθονὸς
Ἄδμητος ἔξω δωμάτων πορεύεται.

ΑΔΜΗΤΟΣ.

χαῖρ', ὦ Διὸς παῖ Περσέως τ' ἀφ' αἵματος.

494. λαιψηραῖς] λαιψηροῖς H.

496. αἵμασιν] αἵμασι A. αἵματι H.

497. δ' ὁ] δὲ A.H.

498. Ἄρεως Lasc. Vulgo Ἄρεος. πέλτης] πέλλης A.H.

500. ἀεὶ] αἰεὶ A. et edd. veteres.

501. οὓς A.H. et Flor. duo. Legebatur οἷς.

504. συμβαλῶν Lasc. Ceteri libri συμβαλών.

509. περσέως τ' A.H. et schol. Aberat τ'.

ΗΡΑΚΛΗΣ.

Ἄδμητε, καὶ σὺ χαῖρε, Θεσσαλῶν ἄναξ.

ΑΔΜΗΤΟΣ.

θέλοιμ᾽ ἄν· εὔνουν δ᾽ ὄντα σ᾽ ἐξεπίσταμαι.

ΗΡΑΚΛΗΣ.

τί χρῆμα κουρᾷ τῇδε πενθίμῳ πρέπεις;

ΑΔΜΗΤΟΣ.

θάπτειν τιν᾽ ἐν τῇδ᾽ ἡμέρᾳ μέλλω νεκρόν.

ΗΡΑΚΛΗΣ.

ἀπ᾽ οὖν τέκνων σῶν πημονὴν εἴργοι θεός.

ΑΔΜΗΤΟΣ.

ζῶσιν κατ᾽ οἴκους παῖδες οὓς ἔφυσ᾽ ἐγώ.

ΗΡΑΚΛΗΣ.

πατήρ γε μὴν ὡραῖος, εἴπερ οἴχεται.

ΑΔΜΗΤΟΣ.

κἀκεῖνος ἔστι χὴ τεκοῦσά μ᾽, Ἡράκλεις.

ΗΡΑΚΛΗΣ.

οὐ μὴν γυνή γ᾽ ὄλωλεν Ἄλκηστις σέθεν;

ΑΔΜΗΤΟΣ.

διπλοῦς ἐπ᾽ αὐτῇ μῦθος ἔστι μοι λέγειν.

ΗΡΑΚΛΗΣ.

πότερα θανούσης εἶπας ἢ ζώσης ἔτι;

ΑΔΜΗΤΟΣ.

ἔστιν τε κοὐκέτ᾽ ἔστιν, ἀλγύνει δέ με.

ΗΡΑΚΛΗΣ.

οὐδέν τι μᾶλλον οἶδ᾽· ἄσημα γὰρ λέγεις.

ΑΔΜΗΤΟΣ.

οὐκ οἶσθα μοίρας ἧς τυχεῖν αὐτὴν χρεών;

514. ἀπ᾽] ἄπ᾽ A.
515. ζῶσιν] ζῶσι A.
520. ἔτι A.H. et quattuor alii. Vulgo πέρι.
521. ἔστιν τε] ἔστι τε A.

ΗΡΑΚΛΗΣ.

οἶδ᾽ ἀντὶ σοῦ γε κατθανεῖν ὑφειμένην.

ΑΔΜΗΤΟΣ.

πῶς οὖν ἔτ᾽ ἔστιν, εἴπερ ᾔνεσεν τάδε;

ΗΡΑΚΛΗΣ.

ἆ, μὴ πρόκλαι᾽ ἄκοιτιν, ἐς τόδ᾽ ἀναβαλοῦ.

ΑΔΜΗΤΟΣ.

τέθνηχ᾽ ὁ μέλλων, κοὐκέτ᾽ ἔσθ᾽ ὁ κατθανών.

ΗΡΑΚΛΗΣ.

χωρὶς τό τ᾽ εἶναι καὶ τὸ μὴ νομίζεται.

ΑΔΜΗΤΟΣ.

σὺ τῇδε κρίνεις, Ἡράκλεις, κείνῃ δ᾽ ἐγώ.

ΗΡΑΚΛΗΣ.

τί δῆτα κλαίεις; τίς φίλων ὁ κατθανών;

ΑΔΜΗΤΟΣ.

γυνή· γυναικὸς ἀρτίως μεμνήμεθα.

ΗΡΑΚΛΗΣ.

ὀθνεῖος, ἤ σοὶ συγγενὴς γεγῶσά τις;

ΑΔΜΗΤΟΣ.

ὀθνεῖος, ἄλλως δ᾽ ἦν ἀναγκαία δόμοις.

ΗΡΑΚΛΗΣ.

πῶς οὖν ἐν οἴκοις σοῖσιν ὤλεσεν βίον;

ΑΔΜΗΤΟΣ.

πατρὸς θανόντος ἐνθάδ᾽ ὠρφανεύετο.

ΗΡΑΚΛΗΣ.

φεῦ.

εἴθ᾽ εὕρομέν σ᾽, Ἄδμητε, μὴ λυπούμενον.

525. ᾔνεσεν] ᾔνεσε A.
526. ἆ] ἆ ἆ A. et Flor. duo.
ἐς] εἰς A.
527. ἔσθ᾽] ἐστὶν A.
534. ὤλεσεν] ὤλεσε A.

ΑΔΜΗΤΟΣ.

ὡς δὴ τί δράσων τόνδ' ὑπορράπτεις λόγον;

ΗΡΑΚΛΗΣ.

ξένων πρὸς ἄλλην ἑστίαν πορεύσομαι.

ΑΔΜΗΤΟΣ.

οὐκ ἔστιν, ὦναξ· μὴ τοσόνδ' ἔλθοι κακόν.

ΗΡΑΚΛΗΣ.

λυπουμένοις ὀχληρὸς, εἰ μόλοι, ξένος.

ΑΔΜΗΤΟΣ.

τεθνᾶσιν οἱ θανόντες· ἀλλ' ἴθ' ἐς δόμους.

ΗΡΑΚΛΗΣ.

αἰσχρὸν παρὰ κλαίουσι θοινᾶσθαι φίλοις.

ΑΔΜΗΤΟΣ.

χωρὶς ξενῶνές εἰσιν οἷ σ' εἰσάξομεν.

ΗΡΑΚΛΗΣ.

μέθες με, καί σοι μυρίαν ἕξω χάριν.

ΑΔΜΗΤΟΣ.

οὐκ ἔστιν ἄλλου σ' ἀνδρὸς ἑστίαν μολεῖν.
ἡγοῦ σὺ, τῶνδε δωμάτων ἐξωπίους
ξενῶνας οἴξας, τοῖς τ' ἐφεστῶσιν φράσον
σίτων παρεῖναι πλῆθος· ἐν δὲ κλῄσατε
θύρας μεσαύλους· οὐ πρέπει θοινωμένους
κλύειν στεναγμῶν οὐδὲ λυπεῖσθαι ξένους.

ΧΟΡΟΣ.

τί δρᾷς; τοσαύτης συμφορᾶς προκειμένης,
Ἄδμητε, τολμᾷς ξενοδοχεῖν; τί μῶρος εἶ;

537. δὴ τί] δή τι A.
538. ἄλλην] ἄλλων A.H. aliique codd.
541. ἐς] εἰς A.
542. φίλοις] ξένους Ald.
543. εἰσάξομεν] ἐσάξομεν Lasc.
547. ἐφεστῶσιν] Libri ἐφεστῶσι.
551. τοσαύτης] τοιαύτης A.H. et Flor. duo.
συμφορᾶς] ξυμφορᾶς H. non A.
552. μῶρος] μωρὸς A.

ΑΔΜΗΤΟΣ.

ἀλλ' εἰ δόμων σφε καὶ πόλεως ἀπήλασα
ξένον μολόντα, μᾶλλον ἄν μ' ἐπῄνεσας;
οὐ δῆτ', ἐπεί μοι συμφορὰ μὲν οὐδὲν ἂν
μείων ἐγίγνετ', ἀξενώτερος δ' ἐγώ.
καὶ πρὸς κακοῖσιν ἄλλο τοῦτ' ἂν ἦν κακὸν,
δόμους καλεῖσθαι τοὺς ἐμοὺς ἐχθροξένους.
αὐτὸς δ' ἀρίστου τοῦδε τυγχάνω ξένου,
ὅτανπερ Ἄργους διψίαν ἔλθω χθόνα.

ΧΟΡΟΣ.

πῶς οὖν ἔκρυπτες τὸν παρόντα δαίμονα,
φίλου μολόντος ἀνδρὸς, ὡς αὐτὸς λέγεις;

ΑΔΜΗΤΟΣ.

οὐκ ἄν ποτ' ἠθέλησεν εἰσελθεῖν δόμους,
εἰ τῶν ἐμῶν τι πημάτων ἐγνώρισε.
καὶ τῷ μὲν, οἶμαι, δρῶν τάδ' οὐ φρονεῖν δοκῶ,
οὐδ' αἰνέσει με· τἀμὰ δ' οὐκ ἐπίσταται
μέλαθρ' ἀπωθεῖν οὐδ' ἀτιμάζειν ξένους.

ΧΟΡΟΣ.

ὦ πολύξεινος καὶ ἐλεύθερος ἀνδρὸς ἀεί ποτ' οἶκος,
σέ τοι καὶ ὁ Πύθιος εὐλύρας Ἀπόλλων
ἠξίωσε ναίειν,
ἔτλα δὲ σοῖσι μηλονόμας
ἐν δόμοις γενέσθαι,
δοχμιᾶν διὰ κλιτύων

556. ἐγίγνετ'] ἐγίνετ' A. et edd. veteres. ἐγένετ' H.

ἀξενώτερος A.

558. ἐχθροξένους] κακοξένους A. Quæ lectio ex nullo alio libro enotata est.

560. ὅτανπερ] ὅτ' ἄν ποτ' A.H. et unus ex Florentinis.

569—578=579—587.

569, 570. In libris quattuor versus, ὦ — | ἀνδρὸς — | σέ τοι — | εὐλύρας Ἀπόλλων. Mutavit Hermannus.

569. ὦ] ἰὼ A.H.

572. ἔτλα] ἔτλη A.

574. δόμοις] δόμοισι A.H.

βοσκήμασι σοῖσι συρίζων
ποιμνίτας ὑμεναίους.
σὺν δ' ἐποιμαίνοντο χαρᾷ μελέων βαλιαί τε λύγκες,
ἔβα δὲ λιποῦσ' Ὄθρυος νάπαν λεόντων
ἁ δαφοινὸς ἴλα·
χόρευσε δ' ἀμφὶ σὰν κιθάραν,
Φοῖβε, ποικιλόθριξ
νεβρὸς ὑψικόμων πέραν
βαίνουσ' ἐλατᾶν σφυρῷ κούφῳ,
χαίρουσ' εὔφρονι μολπᾷ.
τοιγὰρ πολυμηλοτάταν
ἑστίαν οἰκεῖ παρὰ καλλίναον
Βοιβίαν λίμναν· ἀρότοις δὲ γυᾶν
καὶ πεδίων δαπέδοις ὅρον ἀμφὶ μὲν ἀελίου κνεφαίαν
ἱππόστασιν αἰθέρα τὰν Μολοσσῶν τίθεται,
πόντιον δ' Αἰγαίων' ἐπ' ἀκτὰν
ἀλίμενον Πηλίου κρατύνει.
καὶ νῦν δόμον ἀμπετάσας
δέξατο ξεῖνον νοτερῷ βλεφάρῳ,
τὰς φίλας κλαίων ἀλόχου νέκυν ἐν

579. *βαλιαί*] *βαλίαι* A.
583. *χόρευσε* Monkius. Libri *ἐχόρευσε.*
588—596=597—605.
588. *τοιγὰρ*] *τοιγάρτοι* A.H.
589. *οἰκεῖ* Monkius. Libri et scholiasta *οἰκεῖς.*
591—594. In libris quattuor versus, *καὶ* — | *ἀμφὶ* — | *ἱππόστασιν* — | *τὰν Μολοσσῶν τίθεται·*
594. *ἱππόστασιν*] *ὑπόστασιν* A.H.
αἰθέρα τὰν] *αἰθέρα* $\overset{\text{τὰν}}{\text{τὰν}}$ A. *αἰθέρα τᾶν* H.
595. *δ'* A.H. Legebatur *τ'.*
Αἰγαίων' Is. Vossius: quod legit scholiasta. Libri *αἰγαῖον.* Metri forma hæc est,

⏑́ ⏑ – | – ⏑́ – | ⏑ ⏑́ –

quam sequitur versus antispasticus. Eadem metra, omisso qui hic præcedit cretico, consociavit Sophocles Trach. v. 523.

ἁ δ' εὐῶπις ἁβρὰ
τηλαυγεῖ παρ' ὄχθῳ
ἧστο τὸν ὃν προσμένουσ' ἀκοίταν.

598. *δέξατο* A.H. et Flor. unus et Lasc. *δέξεται* Ald.
ξεῖνον] *ξένον* A.H.
599. *φίλας*] *φιλίας* A.H.

δώμασιν ἀρτιθανῆ· τὸ γὰρ εὐγενὲς ἐκφέρεται πρὸς αἰδῶ.
ἐν τοῖς ἀγαθοῖσι δὲ πάντ' ἔνεστιν σοφίας.
πρὸς δ' ἐμᾷ ψυχᾷ θάρσος ἧσται
θεοσεβῆ φῶτα κεδνὰ πράξειν.

ΑΔΜΗΤΟΣ.

ἀνδρῶν Φεραίων εὐμενὴς παρουσία,
νέκυν μὲν ἤδη πάντ' ἔχοντα πρόσπολοι
φέρουσιν ἄρδην ἐς τάφον τε καὶ πυράν·
ὑμεῖς δὲ τὴν θανοῦσαν, ὡς νομίζεται,
προσείπατ' ἐξιοῦσαν ὑστάτην ὁδόν.

ΧΟΡΟΣ.

καὶ μὴν ὁρῶ σὸν πατέρα γηραιῷ ποδὶ
στείχοντ', ὀπαδούς τ' ἐν χεροῖν δάμαρτι σῇ
κόσμον φέροντας, νερτέρων ἀγάλματα.

ΦΕΡΗΣ.

ἥκω κακοῖσι σοῖσι συγκάμνων, τέκνον·
ἐσθλῆς γὰρ, οὐδεὶς ἀντερεῖ, καὶ σώφρονος
γυναικὸς ἡμάρτηκας. ἀλλὰ ταῦτα μὲν
φέρειν ἀνάγκη, καίπερ ὄντα δύσφορα.
δέχου δὲ κόσμον τόνδε, καὶ κατὰ χθονὸς
ἴτω· τὸ ταύτης σῶμα τιμᾶσθαι χρεὼν,
ἥτις γε τῆς σῆς προὔθανε ψυχῆς, τέκνον,
καί μ' οὐκ ἄπαιδ' ἔθηκεν, οὐδ' εἴασε σοῦ
στερέντα γήρᾳ πενθίμῳ καταφθίνειν,
πάσαις δ' ἔθηκεν εὐκλεέστατον βίον

603. ἔνεστιν] ἔνεστι A.

604. πρὸς] ἄγαμαι. πρὸς δ' A. H. et Flor. tres, quorum in uno ἄγαμαι ab alia manu deletum. Alius Flor. ἤγαμα.

608. ἐς Eustathius ad Hom. p. 707, 37. εἰς A.H. Flor. duo. Legebatur πρὸς.

617. δύσφορα] δυσμενῆ A.H. et Flor. tres.

621. εἴασε σοῦ] εἴασέ σου A. et edd. veteres.

622. καταφθίνειν Matthiæ. Libri καταφθινεῖν.

623. εὐκλεέστατον] εὐκλεέστερον A.H.

γυναιξὶν, ἔργον τλᾶσα γενναῖον τόδε.
ὦ τόνδε μὲν σώσασ', ἀναστήσασα δὲ
ἡμᾶς πίτνοντας, χαῖρε, κἀν Ἅιδου δόμοις
εὖ σοι γένοιτο. φημὶ τοιούτους γάμους
λύειν βροτοῖσιν, ἢ γαμεῖν οὐκ ἄξιον.

ΑΔΜΗΤΟΣ.

οὔτ' ἦλθες ἐς τόνδ' ἐξ ἐμοῦ κληθεὶς τάφον
οὔτ' ἐν φίλοισι σὴν παρουσίαν λέγω.
κόσμον δὲ τὸν σὸν οὔποθ' ἥδ' ἐνδύσεται·
οὐ γάρ τι τῶν σῶν ἐνδεὴς ταφήσεται.
τότε ξυναλγεῖν χρῆν σ' ὅτ' ὠλλύμην ἐγώ.
σὺ δ' ἐκποδὼν στὰς καὶ παρεὶς ἄλλῳ θανεῖν
νέῳ γέρων ὢν, τόνδ' ἀποιμώζεις νεκρόν;
οὐκ ἦσθ' ἄρ' ὀρθῶς τοῦδε σώματος πατὴρ,
οὐδ' ἡ τεκεῖν φάσκουσα καὶ κεκλημένη
μήτηρ μ' ἔτικτε· δουλίου δ' ἀφ' αἵματος
μαστῷ γυναικὸς σῆς ὑπεβλήθην λάθρα.
ἔδειξας εἰς ἔλεγχον ἐξελθὼν ὃς εἶ,
καί μ' οὐ νομίζω παῖδα σὸν πεφυκέναι.
ἦ τἄρα πάντων διαπρέπεις ἀψυχίᾳ,
ὃς τηλίκοσδ' ὢν κἀπὶ τέρμ' ἥκων βίου
οὐκ ἠθέλησας, οὐδ' ἐτόλμησας θανεῖν
τοῦ σοῦ πρὸ παιδὸς, ἀλλὰ τήνδ' εἰάσατε
γυναῖκ' ὀθνείαν, ἣν ἐγὼ καὶ μητέρα
πατέρα τ' ἂν ἐνδίκως ἂν ἡγοίμην μόνην.

625. σώσασ'] σώσ' A.
626. πίτνοντας Flor. duo. πιτνόντας (α) A. πιτνόντες H. Vulgo πιτνοῦντας.
κἀν] κεὶν A. κ' εἰν H. et Flor. unus. κῆν Lasc.
629. ἐς] εἰς A. et edd. veteres.
635. ἀποιμώζεις A.H. Alii libri, ἀποιμώζῃ, ἀποιμώξῃ, ἀποιμώξεις.
647. τ' ἂν ἐνδίκως Elmsleius. τ' ἐνδίκως A.H. et Flor. tres. τέ γ' ἐνδίκως Lasc. Ald.
μόνην] ἐμόν A.H.

καίτοι καλόν γ' ἂν τόνδ' ἀγῶν' ἠγωνίσω,
τοῦ σοῦ πρὸ παιδὸς κατθανὼν, βραχὺς δέ σοι
πάντως ὁ λοιπὸς ἦν βιώσιμος χρόνος·
κἀγώ τ' ἂν ἔζων χἤδε τὸν λοιπὸν χρόνον,
κοὐκ ἂν μονωθεὶς ἔστενον κακοῖς ἐμοῖς.
καὶ μὴν ὅσ' ἄνδρα χρὴ παθεῖν εὐδαίμονα
πέπονθας· ἥβησας μὲν ἐν τυραννίδι,
παῖς δ' ἦν ἐγώ σοι τῶνδε διάδοχος δόμων,
ὥστ' οὐκ ἄτεκνος κατθανὼν ἄλλοις δόμον
λείψειν ἔμελλες ὀρφανὸν διαρπάσαι.
οὐ μὴν ἐρεῖς γέ μ' ὡς ἀτιμάζων τὸ σὸν
γῆρας θανεῖν προὔδωκά σ', ὅστις αἰδόφρων
πρός σ' ἦν μάλιστα, κἀντὶ τῶνδέ μοι χάριν
τοιάνδε καὶ σὺ χἠ τεκοῦσ' ἠλλαξάτην.
τοιγὰρ φυτεύων παῖδας οὐκέτ' ἂν φθάνοις,
οἳ γηροβοσκήσουσι καὶ θανόντα σε
περιστελοῦσι καὶ προθήσονται νεκρόν.
οὐ γάρ σ' ἔγωγε τῇδ' ἐμῇ θάψω χερί·
τέθνηκα γὰρ δὴ τοὐπὶ σ'· εἰ δ' ἄλλου τυχὼν
σωτῆρος αὐγὰς εἰσορῶ, κείνου λέγω
καὶ παῖδά μ' εἶναι καὶ φίλον γηροτρόφον.
μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου.
ἢν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
θνήσκειν, τὸ γῆρας δ' οὐκέτ' ἔστ' αὐτοῖς βαρύ.

ΧΟΡΟΣ.

παύσασθ'· ἅλις γὰρ ἡ παροῦσα συμφορὰ,

651. ἔζων] ἔζην Flor. tres. Vid. ad v. 295.
657. διαρπάσαι] διαρπάσειν A. H. aliique.
665. θάψω] θάλψω A.
669. ἄρ'] ἆρ' A.
671. ἔλθῃ] ἔλθοι A.H.

ὦ παῖ· πατρὸς δὲ μὴ παροξύνῃς φρένα.

ΦΕΡΗΣ.

ὦ παῖ, τίν' αὐχεῖς, πότερα Λυδὸν ἢ Φρύγα
κακοῖς ἐλαύνειν ἀργυρώνητον σέθεν ;
οὐκ οἶσθα Θεσσαλόν με κἀπὸ Θεσσαλοῦ
πατρὸς γεγῶτα, γνησίως ἐλεύθερον ;
ἄγαν ὑβρίζεις, καὶ νεανίας λόγους
ῥίπτων ἐς ἡμᾶς οὐ βαλὼν οὕτως ἄπει.
ἐγὼ δέ σ' οἴκων δεσπότην ἐγεινάμην
κἄθρεψ', ὀφείλω δ' οὐχ ὑπερθνήσκειν σέθεν·
οὐ γὰρ πατρῷον τόνδ' ἐδεξάμην νόμον,
παίδων προθνήσκειν πατέρας, οὐδ' Ἑλληνικόν.
σαυτῷ γὰρ, εἴτε δυστυχὴς εἴτ' εὐτυχὴς,
ἔφυς· ἃ δ' ἡμῶν χρῆν σε τυγχάνειν, ἔχεις.
πολλῶν μὲν ἄρχεις, πολυπλέθρους δέ σοι γύας
λείψω· πατρὸς γὰρ ταῦτ' ἐδεξάμην πάρα.
τί δῆτά σ' ἠδίκηκα ; τοῦ σ' ἀποστερῶ ;
μὴ θνῆσχ' ὑπὲρ τοῦδ' ἀνδρὸς, οὐδ' ἐγὼ πρὸ σοῦ.
χαίρεις ὁρῶν φῶς, πατέρα δ' οὐ χαίρειν δοκεῖς ;
ἦ μὴν πολύν γε τὸν κάτω λογίζομαι
χρόνον, τὸ δὲ ζῆν σμικρὸν, ἀλλ' ὅμως γλυκύ.
σὺ γοῦν ἀναιδῶς διεμάχου τὸ μὴ θανεῖν,
καὶ ζῇς παρελθὼν τὴν πεπρωμένην τύχην,
ταύτην κατακτάς· εἶτ' ἐμὴν ἀψυχίαν
λέγεις, γυναικὸς, ὦ κάκισθ', ἡσσημένος,
ἣ τοῦ καλοῦ σοῦ προὔθανεν νεανίου ;

674. φρένα] φρένας A.H. et Flor. duo.
680. ἄπει] ἀπεῖ A.
682. ὀφείλω δ' A.H. et quinque alii. Vulgo ὀφείλων.
687. γύας] γύιας A. γυίας H. Lasc. Ald.
690. θνῆσχ'] θνῆσκ' A.
693. σμικρὸν] μικρὸν A.H.
694. σὺ γοῦν A. Vulgo σύ γ' οὖν.
697. κάκισθ'] κάκιστ' A.
698. προὔθανεν] προὔθανε A.

σοφῶς δ' ἐφεῦρες, ὥστε μὴ θανεῖν ποτε,
εἰ τὴν παροῦσαν κατθανεῖν πείσεις ἀεὶ
γυναῖχ' ὑπὲρ σοῦ· κᾆτ' ὀνειδίζεις φίλοις
τοῖς μὴ θέλουσι δρᾶν τάδ', αὐτὸς ὢν κακός;
σίγα· νόμιζε δ', εἰ σὺ τὴν σαυτοῦ φιλεῖς
ψυχὴν, φιλεῖν ἅπαντας· εἰ δ' ἡμᾶς κακῶς
ἐρεῖς, ἀκούσει πολλὰ κοὐ ψευδῆ κακά.

ΧΟΡΟΣ.

πλείω λέλεκται νῦν τε καὶ τὰ πρὶν κακά·
παῦσαι δὲ, πρέσβυ, παῖδα σὸν κακορροθῶν.

ΑΔΜΗΤΟΣ.

λέγ', ὡς ἐμοῦ λέξαντος· εἰ δ' ἀλγεῖς κλύων
τἀληθὲς, οὐ χρῆν σ' εἰς ἔμ' ἐξαμαρτάνειν.

ΦΕΡΗΣ.

σοῦ δ' ἂν προθνήσκων μᾶλλον ἐξημάρτανον.

ΑΔΜΗΤΟΣ.

ταυτὸν γὰρ ἡβῶντ' ἄνδρα καὶ πρέσβυν θανεῖν;

ΦΕΡΗΣ.

ψυχῇ μιᾷ ζῆν, οὐ δυοῖν, ὀφείλομεν.

ΑΔΜΗΤΟΣ.

καὶ μὴν Διός γε μείζον' ἂν ζῴης χρόνον.

ΦΕΡΗΣ.

ἀρᾷ γονεῦσιν, οὐδὲν ἔκδικον παθών;

ΑΔΜΗΤΟΣ.

μακροῦ βίου γὰρ ᾐσθόμην ἐρῶντά σε.

ΦΕΡΗΣ.

ἀλλ' οὐ σὺ νεκρὸν ἀντὶ σοῦ τόνδ' ἐκφέρεις;

701. κᾆτ' ὀνειδίζεις] κατονειδίζεις A.
705. ἀκούσει] ἀκούσῃ A. et edd. veteres.
709. χρῆν] χρήν (sic) A.H.
713. ζῴης] ζῴοις A. aliique.
716. νεκρὸν] νεκρόν γ' A.

ΑΔΜΗΤΟΣ.

σημεῖα τῆς σῆς, ὦ κάκιστ', ἀψυχίας.

ΦΕΡΗΣ.

οὔτοι πρὸς ἡμῶν γ' ὤλετ'· οὐκ ἐρεῖς τόδε.

ΑΔΜΗΤΟΣ.

φεῦ·
εἴθ' ἀνδρὸς ἔλθοις τοῦδέ γ' ἐς χρείαν ποτέ.

ΦΕΡΗΣ.

μνήστευε πολλὰς, ὡς θάνωσι πλείονες.

ΑΔΜΗΤΟΣ.

σοὶ τοῦτ' ὄνειδος· οὐ γὰρ ἤθελες θανεῖν.

ΦΕΡΗΣ.

φίλον τὸ φέγγος τοῦτο τοῦ θεοῦ, φίλον.

ΑΔΜΗΤΟΣ.

κακὸν τὸ λῆμα κοὐκ ἐν ἀνδράσιν τὸ σόν.

ΦΕΡΗΣ.

οὐκ ἐγγελᾷς γέροντα βαστάζων νεκρόν.

ΑΔΜΗΤΟΣ.

θανεῖ γε μέντοι δυσκλεὴς, ὅταν θάνῃς.

ΦΕΡΗΣ.

κακῶς ἀκούειν οὐ μέλει θανόντι μοι.

ΑΔΜΗΤΟΣ.

φεῦ φεῦ· τὸ γῆρας ὡς ἀναιδείας πλέων.

ΦΕΡΗΣ.

ἥδ' οὐκ ἀναιδής· τήνδ' ἐφεῦρες ἄφρονα.

ΑΔΜΗΤΟΣ.

ἄπελθε, καί με τόνδ' ἔα θάψαι νεκρόν.

719. ἐς] εἰς A. et edd. veteres.
723. λῆμα] λῆμμα A. ἀνδράσιν] ἀνδράσι A.
725. θανεῖ] θανῇ A. et edd. veteres. θάνῃς] θάνῃ A.
727. πλέων A. Lasc. In Ald. aliisque libris πλέον.
729. καί με] κἀμὲ A.H.

ΦΕΡΗΣ.

ἄπειμι· θάψεις δ' αὐτὸς ὢν αὐτῆς φονεύς.
δίκας δὲ δώσεις σοῖσι κηδεσταῖς ἔτι.
ἦ τἄρ' Ἄκαστος οὐκέτ' ἔστ' ἐν ἀνδράσιν,
εἰ μή σ' ἀδελφῆς αἷμα τιμωρήσεται.

ΑΔΜΗΤΟΣ.

ἔρροις νυν αὐτὸς χἠ ξυνοικήσασά σοι,
ἄπαιδε, παιδὸς ὄντος, ὥσπερ ἄξιοι,
γηράσκετ'· οὐ γὰρ τῷδέ γ' ἐς ταυτὸν στέγος
νεῖσθ'· εἰ δ' ἀπειπεῖν χρῆν με κηρύκων ὕπο
τὴν σὴν πατρῴαν ἑστίαν, ἀπεῖπον ἄν.
ἡμεῖς δὲ, τοὐν ποσὶν γὰρ οἰστέον κακὸν,
στείχωμεν, ὡς ἂν ἐν πυρᾷ θῶμεν νεκρόν.

ΧΟΡΟΣ.

ἰὼ ἰώ. σχετλία τόλμης,
ὦ γενναία καὶ μέγ' ἀρίστη,
χαῖρε· πρόφρων σε χθόνιός θ' Ἑρμῆς
Ἅιδης τε δέχοιτ'· εἰ δέ τι κἀκεῖ
πλέον ἔστ' ἀγαθοῖς, τούτων μετέχουσ'
Ἅιδου νύμφῃ παρεδρεύοις.

ΘΕΡΑΠΩΝ.

πολλοὺς μὲν ἤδη κἀπὸ παντοίας χθονὸς
ξένους μολόντας οἶδ' ἐς Ἀδμήτου δόμους,
οἷς δεῖπνα προὔθηκ'· ἀλλὰ τοῦδ' οὔπω ξένου

731. δὲ—σοῖσι] τε—τοῖσι A. H.
732. Ἄκαστος] ἄκλαυστος A.H. οὐκ ἔστ' ἐν ἄνδρασιν ἔτι A. Vulgata lectio in marg. ab manu recentiori.
734. νυν] νῦν A.
736. ἐς] εἰς A. et edd. veteres.
739. τοὐν ποσὶν] τοὐμποσὶ A.H.
741. σχετλία] σχετλίη A.
742. ἀρίστη A.H. et Flor. tres. Vulgo ἀρίστα.
743. χθόνιος δ' ἅδης ἑρμῆς τε A. H.
744. δέχοιτ'] δέχητ' A.
745. ἀγαθοῖς] ἀγαθοῖσι A.H.
746. νύμφῃ A.H. Vulgo νύμφα.
748 et 750. ἐς] εἰς A.

κακίον' ἐς τήνδ' ἑστίαν ἐδεξάμην.
ὃς πρῶτα μὲν πενθοῦντα δεσπότην ὁρῶν
εἰσῆλθε κἀτόλμησ' ἀμείψασθαι πύλας.
ἔπειτα δ' οὔτι σωφρόνως ἐδέξατο
τὰ προστυχόντα ξένια, συμφορὰν μαθών,
ἀλλ' εἴ τι μὴ φέροιμεν, ὤτρυνεν φέρειν.
ποτῆρα δ' ἐν χείρεσσι κίσσινον λαβὼν
πίνει μελαίνης μητρὸς εὔζωρον μέθυ,
ἕως ἐθέρμην' αὐτὸν ἀμφιβᾶσα φλὸξ
οἴνου· στέφει δὲ κρᾶτα μυρσίνης κλάδοις,
ἄμουσ' ὑλακτῶν, δισσὰ δ' ἦν μέλη κλύειν·
ὁ μὲν γὰρ ᾖδε, τῶν ἐν Ἀδμήτου κακῶν
οὐδὲν προτιμῶν, οἰκέται δ' ἐκλαίομεν
δέσποιναν· ὄμμα δ' οὐκ ἐδείκνυμεν ξένῳ
τέγγοντες· Ἄδμητος γὰρ ὧδ' ἐφίετο.
καὶ νῦν ἐγὼ μὲν ἐν δόμοισιν ἑστιῶ
ξένον, πανοῦργον κλῶπα καὶ λῃστήν τινα,
ἡ δ' ἐκ δόμων βέβηκεν, οὐδ' ἐφεσπόμην,
οὐδ' ἐξέτεινα χεῖρ', ἀποιμώζων ἐμὴν
δέσποιναν, ἣ 'μοὶ πᾶσί τ' οἰκέταισιν ἦν
μήτηρ· κακῶν γὰρ μυρίων ἐρρύετο,
ὀργὰς μαλάσσουσ' ἀνδρός. ἆρα τὸν ξένον
στυγῶ δικαίως, ἐν κακοῖς ἀφιγμένον;

ΗΡΑΚΛΗΣ.

οὗτος, τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις;
οὐ χρὴ σκυθρωπὸν τοῖς ξένοις τὸν πρόσπολον
εἶναι, δέχεσθαι δ' εὐπροσηγόρῳ φρενί.
σὺ δ' ἄνδρ' ἑταῖρον δεσπότου παρόνθ' ὁρῶν,

755. φέροιμεν] φέροιεν A.H. ὤτρυνεν] ὤτρυνε A.
756. χείρεσσι] χείρεσι A.
759. μυρσίνης Canterus. Libri μυρσίνοις. Conf. v. 172.

στυγνῷ προσώπῳ καὶ συνωφρυωμένῳ
δέχει, θυραίου πήματος σπουδὴν ἔχων.
δεῦρ' ἔλθ', ὅπως ἂν καὶ σοφώτερος γένῃ.
τὰ θνητὰ πράγματ' οἶδας ἣν ἔχει φύσιν;
οἶμαι μὲν οὔ· πόθεν γάρ; ἀλλ' ἄκουέ μου.
βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,
κοὐκ ἔστι θνητῶν ὅστις ἐξεπίσταται
τὴν αὔριον μέλλουσαν εἰ βιώσεται·
τὸ τῆς τύχης γὰρ ἀφανὲς οἷ προβήσεται,
κἄστ' οὐ διδακτὸν, οὐδ' ἁλίσκεται τέχνῃ.
ταῦτ' οὖν ἀκούσας καὶ μαθὼν ἐμοῦ πάρα,
εὔφραινε σαυτὸν, πῖνε, τὸν καθ' ἡμέραν
βίον λογίζου σὸν, τὰ δ' ἄλλα τῆς τύχης.
τίμα δὲ καὶ τὴν πλεῖστον ἡδίστην θεῶν
Κύπριν βροτοῖσιν· εὐμενὴς γὰρ ἡ θεός.
τὰ δ' ἄλλ' ἔασον ταῦτα, καὶ πείθου λόγοις
ἐμοῖσιν, εἴπερ ὀρθά σοι δοκῶ λέγειν·
οἶμαι μέν. οὔκουν τὴν ἄγαν λύπην ἀφεὶς
πίει μεθ' ἡμῶν τάσδ' ὑπερβαλὼν πύλας,
στεφάνοις πυκασθείς; καὶ σάφ' οἶδ' ὁθούνεκα
τοῦ νῦν σκυθρωποῦ καὶ ξυνεστῶτος φρενῶν
μεθορμιεῖ σε πίτυλος ἐμπεσὼν σκύφου.
ὄντας δὲ θνητοὺς θνητὰ καὶ φρονεῖν χρεὼν,
ὡς τοῖς γε σεμνοῖς καὶ συνωφρυωμένοις
ἅπασίν ἐστιν, ὥς γ' ἐμοὶ χρῆσθαι κριτῇ,
οὐ βίος ἀληθῶς ὁ βίος, ἀλλὰ συμφορά.

778. δέχει] δέχῃ A. et edd. veteres.

781. οἶμαι] δοκῶ Plutarch. Moral. p. 107 C.

783. ἔστι θνητῶν] ἔστιν αὐτῶν Plutarchus.

795. πίει Matthiæ. Codices et Lasc. πίῃ. πίῃς Ald. πύλας] τύχας A. et codd. plerique.

797. φρενῶν] κακοῦ A.H.

ΘΕΡΑΠΩΝ.

ἐπιστάμεσθα ταῦτα· νῦν δὲ πράσσομεν
οὐχ οἷα κώμου καὶ γέλωτος ἄξια.

ΗΡΑΚΛΗΣ.

γυνὴ θυραῖος ἡ θανοῦσα· μὴ λίαν
πένθει· δόμων γὰρ ζῶσι τῶνδε δεσπόται.

ΘΕΡΑΠΩΝ.

τί ζῶσιν; οὐ κάτοισθα τὰν δόμοις κακά.

ΗΡΑΚΛΗΣ.

εἰ μή τι σός με δεσπότης ἐψεύσατο.

ΘΕΡΑΠΩΝ.

ἄγαν ἐκεῖνός ἐστ' ἄγαν φιλόξενος.

ΗΡΑΚΛΗΣ.

οὐ χρῆν μ' ὀθνείου γ' οὕνεκ' εὖ πάσχειν νεκροῦ;

ΘΕΡΑΠΩΝ.

ἦ κάρτα μέντοι καὶ λίαν θυραῖος ἦν.

ΗΡΑΚΛΗΣ.

μῶν ξυμφοράν τιν' οὖσαν οὐκ ἔφραζέ μοι;

ΘΕΡΑΠΩΝ.

χαίρων ἴθ'· ἡμῖν δεσποτῶν μέλει κακά.

ΗΡΑΚΛΗΣ.

ὅδ' οὐ θυραίων πημάτων ἄρχει λόγος.

ΘΕΡΑΠΩΝ.

οὐ γάρ τι κωμάζοντ' ἂν ἠχθόμην σ' ὁρῶν.

ΗΡΑΚΛΗΣ.

ἀλλ' ἦ πέπονθα δείν' ὑπὸ ξένων ἐμῶν;

803. *ἐπιστάμεσθα*] *ἐπιστάμεθα* A.H.

807. *κάτοισθα*] *κατοῖσθα* A.

810. *οὐ χρῆν* (*χρῆ* Lasc.) *μ' ὀθνείου γ' οὕνεκ' εὖ πάσχειν νεκροῦ*] *οὔκουν. ὀθνείου γὰρ οὕνεκ' εὖ πάσχει νεκροῦ* Ald.

811. *λίαν θυραῖος* Lasc. et Flor. tres: duo alii et A.H. *λίαν οἰκεῖος.* Ald. *λίαν γ' οἰκεῖος.*

ΘΕΡΑΠΩΝ.

οὐκ ἦλθες ἐν δέοντι δέξασθαι δόμοις·
πένθος γὰρ ἡμῖν ἐστι· καὶ κουρὰν βλέπεις
μελαμπέπλους στολμούς τε.

ΗΡΑΚΛΗΣ.

τίς δ᾽ ὁ κατθανών;
μῶν ἢ τέκνων τι φροῦδον ἢ πατὴρ γέρων;

ΘΕΡΑΠΩΝ.

γυνὴ μὲν οὖν ὄλωλεν Ἀδμήτου, ξένε.

ΗΡΑΚΛΗΣ.

τί φῄς; ἔπειτα δῆτά μ᾽ ἐξενίζετε;

ΘΕΡΑΠΩΝ.

ᾐδεῖτο γάρ σε τῶνδ᾽ ἀπώσασθαι δόμων.

ΗΡΑΚΛΗΣ.

ὦ σχέτλι᾽, οἵας ἤμπλακες ξυναόρου.

ΘΕΡΑΠΩΝ.

ἀπωλόμεσθα πάντες, οὐ κείνη μόνη.

ΗΡΑΚΛΗΣ.

ἀλλ᾽ ᾐσθόμην μέν, ὄμμ᾽ ἰδὼν δακρυρροοῦν
κουράν τε καὶ πρόσωπον· ἀλλ᾽ ἔπειθέ με
λέγων θυραῖον κῆδος ἐς τάφον φέρειν.
βίᾳ δὲ θυμοῦ τάσδ᾽ ὑπερβαλὼν πύλας
ἔπινον ἀνδρὸς ἐν φιλοξένου δόμοις,
πράσσοντος οὕτω. κᾆτα κωμάζω κάρα
στεφάνοις πυκασθείς; ἀλλὰ σοῦ τὸ μὴ φράσαι,
κακοῦ τοσούτου δώμασιν προσκειμένου.

817. δόμοις A.H. et quattuor alii codices. δόμους Lasc. Ald.
820. τι φροῦδον A.H. et Flor. tres. Legebatur τις φροῦδος. Post φροῦδον in A. expunctum est γένος.
828. ἐς] εἰς A.H. et Flor. duo.
831. κᾆτα κωμάζω Parisini duo et Flor. tres. κατακωμάζω A. κᾆτα κωμάζων H. κᾆτ᾽ ἐκώμαζον Lasc. cum Paris. uno et Flor. uno. κἀπεκώμαζον Ald.
833. δώμασιν] δώματος A.H.

ποῦ καί σφε θάπτει; ποῦ νιν εὑρήσω μολών;

ΘΕΡΑΠΩΝ.

ὀρθὴν παρ' οἶμον, ἣ 'πὶ Λάρισσαν φέρει,
τύμβον κατόψει ξεστὸν ἐκ προαστίου.

ΗΡΑΚΛΗΣ.

ὦ πολλὰ τλᾶσα καρδία ψυχή τ' ἐμὴ,
νῦν δεῖξον οἷον παῖδά σ' ἡ Τιρυνθία
Ἠλεκτρύονος ἐγείνατ' Ἀλκμήνη Διί.
δεῖ γάρ με σῶσαι τὴν θανοῦσαν ἀρτίως
γυναῖκα κἀς τόνδ' αὖθις ἱδρῦσαι δόμον
Ἄλκηστιν, Ἀδμήτῳ θ' ὑπουργῆσαι χάριν.
ἐλθὼν δ' ἄνακτα τὸν μελάμπεπλον νεκρῶν
Θάνατον φυλάξω, καί νιν εὑρήσειν δοκῶ,
πίνοντα τύμβου πλησίον προσφαγμάτων.
κἄνπερ λοχήσας αὐτὸν ἐξ ἕδρας συθεὶς
μάρψω, κύκλον δὲ περιβάλω χεροῖν ἐμαῖν,
οὐκ ἔστιν ὅστις αὐτὸν ἐξαιρήσεται
μογοῦντα πλευρὰ, πρὶν γυναῖκ' ἐμοὶ μεθῇ.
ἢν δ' οὖν ἁμάρτω τῆσδ' ἄγρας, καὶ μὴ μόλῃ
πρὸς αἱματηρὸν πέλανον, εἶμι τῶν κάτω
Κόρης ἄνακτός τ' εἰς ἀνηλίους δόμους,
αἰτήσομαί τε· καὶ πέποιθ' ἄξειν ἄνω

834. *μολών*] *μολῶν* A.

836. *προαστίου*] *προαστείου* A. H. Lasc.

837. *ψυχή τ'*] *καὶ χεὶρ* A.H. et duo alii libri et Tzetz. Chil. II. 809.

839. *Ἠλεκτρύονος* Blomfieldus. *ἠλεκτρυόνος* H. Vulgo *Ἠλεκτρυῶνος*.

ἐγείνατ' Blomfieldus. Libri *γείνατ'*.

841. Legebatur *κεἰς*. Restitui *κἀς*, quam crasin etiam alibi ab librariis obscuratam servarunt codices apud Aristoph. Acharn. 184. Av. 949.

847. *κύκλον*] *κύκλῳ* Ald.

περιβάλω Monkius. Libri *περιβαλῶ* præter A. et Flor. tres, qui *περιβαλών*.

851. *πέλανον*] *πελανὸν* A.

τῶν A.H. aliique. Vulgo *τήν*.

852. *ἀνηλίους*] *ἀνηλίου* A.

Ἄλκηστιν, ὥστε χερσὶν ἐνθεῖναι ξένου,
ὅς μ' ἐς δόμους ἐδέξατ' οὐδ' ἀπήλασε,
καίπερ βαρείᾳ συμφορᾷ πεπληγμένος,
ἔκρυπτε δ', ὢν γενναῖος, αἰδεσθεὶς ἐμέ.
τίς τοῦδε μᾶλλον Θεσσαλῶν φιλόξενος;
τίς Ἑλλάδ' οἰκῶν; τοιγὰρ οὐκ ἐρεῖ κακὸν
εὐεργετῆσαι φῶτα γενναῖος γεγώς.

ΑΔΜΗΤΟΣ.

ἰὼ ἰώ, στυγναὶ πρόσοδοι,
στυγναὶ δ' ὄψεις χήρων μελάθρων.
ἰώ μοί μοι, ἓ ἕ.
ποῖ βῶ; πᾷ στῶ; τί λέγω; τί δὲ μή;
πῶς ἂν ὀλοίμαν.
ἦ βαρυδαίμονα μήτηρ μ' ἔτεκεν.
ζηλῶ φθιμένους, κείνων ἔραμαι,
κεῖν' ἐπιθυμῶ δώματα ναίειν.
οὔτε γὰρ αὐγὰς χαίρω προσορῶν,
οὔτ' ἐπὶ γαίας πόδα πεζεύων·
τοῖον ὅμηρόν μ' ἀποσυλήσας
Ἅιδῃ Θάνατος παρέδωκεν.

ΧΟΡΟΣ.

πρόβα πρόβα· βᾶθι κεῦθος οἴκων,

ΑΔΜΗΤΟΣ.

αἰαῖ.

855. ἐς] εἰς A. et edd. veteres.
861. ἰὼ semel A. et Flor. duo. ὤ semel H.
862. στυγναὶ] στυγεραὶ Ald.
863. ἓ ἕ A. ἒ ἔ Flor. duo. Legebatur αἶ αἶ.
864. ποῖ] πῆ H.
πᾶ Porsonus. Vulgo πῇ. ποῖ A. et Flor. tres.
865. ὀλοίμαν] ὄλοιμ' ἂν A.
866. ἔτεκεν] ἔτικτεν A.
871. Ἅιδῃ Θάνατος] ᾅδης θανάτῳ H.
παρέδωκεν] παρέδωκε A.
872—877=889—894.
873. αἰαῖ] Libri αἶ αἶ.
πεπονθὼς Hermannus. Libri πέπονθας.
ἄξι'] ἄξια A.

ΧΟΡΟΣ.

πεπονθὼς ἄξι' αἰαγμάτων.

ΑΔΜΗΤΟΣ.

ἒ ἔ.

ΧΟΡΟΣ.

δι' ὀδύνας ἔβας,
σάφ' οἶδα.

ΑΔΜΗΤΟΣ.

φεῦ φεῦ.

ΧΟΡΟΣ.

τὰν νέρθεν οὐδὲν ὠφελεῖς.

ΑΔΜΗΤΟΣ.

ἰώ μοί μοι.

ΧΟΡΟΣ.

τὸ μήποτ' εἰσιδεῖν φιλίας ἀλόχου
πρόσωπον [ἄντα λυπρόν].

ΑΔΜΗΤΟΣ.

ἔμνησας ὅ μου φρένας ἥλκωσεν·
τί γὰρ ἀνδρὶ κακὸν μεῖζον ἁμαρτεῖν
πιστῆς ἀλόχου; μή ποτε γήμας
ὤφελον οἰκεῖν μετὰ τῆσδε δόμους.
ζηλῶ δ' ἀγάμους ἀτέκνους τε βροτῶν.

875. φεῦ φεῦ extra metrum est. Versuum descriptionem correxit Hermannus. Vulgo δι'— φεῦ | τὰν—ἰώ μοί μοι.

877. Nihil in hoc versu est quod ab Euripide scriptum videatur præter vocabulum πρόσωπον: reliqua, ἄντα λυπρόν, supplementum sunt librarii lacunam explentis. Quod interpolationis genus notavimus ad v. 223. Et λυπρόν etiam Hermanno suspectum fuit, qui commate post ὠφελεῖς posito sensum verborum hunc fere fuisse putat, τὰν νέρθε δ' (nam sic corrigit) οὐδὲν ὠφελεῖς, τὸ μήποτ' εἰσιδεῖν φιλίας ἀλόχου στενάζων πρόσωπον ἄντα.

878. ὅ μου] ὁμοῦ A. ἥλκωσεν] ἥλκωσε A. ἥλκωσε H.

880. πιστῆς] φιλίας A.H.

882. τε om. H. et Flor. duo.

μία γὰρ ψυχή· τῆς ὑπεραλγεῖν
μέτριον ἄχθος·
παίδων δὲ νόσους καὶ νυμφιδίους
εὐνὰς θανάτοις κεραϊζομένας
οὐ τλητὸν ὁρᾶν, ἐξὸν ἀτέκνους
ἀγάμους τ' εἶναι διὰ παντός.

ΧΟΡΟΣ.

τύχα τύχα δυσπάλαιστος ἥκει.

ΑΔΜΗΤΟΣ.

αἰαῖ.

ΧΟΡΟΣ.

πέρας δ' οὐδὲν τίθης ἀλγέων.

ΑΔΜΗΤΟΣ.

ἒ ἔ.

ΧΟΡΟΣ.

βαρέα μὲν φέρειν,
ὅμως δὲ

ΑΔΜΗΤΟΣ.

φεῦ φεῦ.

ΧΟΡΟΣ.

τλᾶθ'· οὐ σὺ πρῶτος ὤλεσας

ΑΔΜΗΤΟΣ.

ἰώ μοί μοι.

883. *ψυχῇ δὲ μιᾷ* Lasc. Ald. *ψυχὴ δὲ μία* Flor. unus. Reliqui libri et Stobæus Floril. 68, 13. *μία γὰρ ψυχή.*

τῆς Stobæus. Libri *τῆσδ'* præter Flor. unum, in quo *τῶνδ'*. *τῆς* (δ' superscr.) Stobæi codex A. *τῆσδ'* B.

885. *νυμφιδίους*] *νυμφιδίας* H.

887. *ἀτέκνους ἀγάμους* A.H. et Flor. duo. Legebatur *ἀτέκνοις ἀγάμοις*. Accusativos in interpretatione sua ponit scholiasta.

889. *αἰαῖ*] Libri *αἶ αἶ*.

890. *πέρας δέ γ' οὐδὲν ἀλγῶν* (*ἀλγέων* H.) *τιθεῖς* A.H., consentientibus Florentinis tribus, nisi quod duo *ἀλγέων τιθεῖς*, unus *ἀλγέων τίθης*. *τιθεῖς* etiam Lasc. Ald.

ΧΟΡΟΣ.

γυναῖκα· συμφορὰ δ᾽ ἑτέρους ἑτέρα
πιέζει φανεῖσα θνατῶν.

ΑΔΜΗΤΟΣ.

ὢ μακρὰ πένθη λῦπαί τε φίλων
τῶν ὑπὸ γαῖαν.
τί μ᾽ ἐκώλυσας ῥῖψαι τύμβου
τάφρον ἐς κοίλην, καὶ μετ᾽ ἐκείνης
τῆς μέγ᾽ ἀρίστης κεῖσθαι φθίμενον;
δύο δ᾽ ἀντὶ μιᾶς Ἅιδης ψυχὰς
τὰς πιστοτάτας σὺν ἂν ἔσχεν, ὁμοῦ
χθονίαν λίμνην διαβάντε.

ΧΟΡΟΣ.

ἐμοί τις ἦν ἐν γένει, ᾧ κόρος ἀξιόθρηνος
ᾤχετ᾽ ἐν δόμοισι
μονόπαις· ἀλλ᾽ ἔμπας
ἔφερε κακὸν ἅλις, ἄτεκνος ὤν,
πολιὰς ἐπὶ χαίτας
ἤδη προπετὴς ὢν
βιότου τε πόρσω.

ΑΔΜΗΤΟΣ.

ὢ σχῆμα δόμων, πῶς εἰσέλθω;

894. θνατῶν] θνητῶν A.H. βροτῶν Flor. duo.

896. γαῖαν] γαίαν A.

898. ἐς] εἰς A. Flor. tres et Lasc.

901. Legebatur γε συνέσχεν. γε om. A.H. et Flor. tres. Hermanni emendationem, σὺν ἂν ἔσχεν, confirmat A. συνανέσχεν exhibens.

902. λίμνην A.H. et Flor. duo. Vulgo λίμναν.

903—910=926—934.

904. κόρος] κοῦρος A.H. et Flor. tres.

905. ᾤχετ᾽] ὤλετ᾽ A.H. et Flor. unus.

δόμοισι] δόμοισιν A. et Flor. duo.

907. In veteribus editionibus versus duo ἔφερε κακὸν | ἅλις ἄτεκνος ὤν. In H. Flor. tribus et Lasc. ἔφερεν.

910. πόρσω Gaisfordus. Libri πρόσω.

πῶς δ' οἰκήσω, μεταπίπτοντος
δαίμονος ; οἴμοι. πολὺ γὰρ τὸ μέσον·
τότε μὲν πεύκαις σὺν Πηλιάσιν,
σύν θ' ὑμεναίοις ἔστειχον ἔσω,
φιλίας ἀλόχου χέρα βαστάζων.
πολυάχητος δ' εἵπετο κῶμος,
τήν τε θανοῦσαν κἄμ' ὀλβίζων,
ὡς εὐπατρίδαι καὶ ἀπ' ἀμφοτέρων
ὄντες ἀριστέων σύζυγες εἶμεν,
νῦν δ' ὑμεναίων γόος ἀντίπαλος,
λευκῶν τε πέπλων μέλανες στολμοὶ
πέμπουσί μ' ἔσω
λέκτρων κοίτας ἐς ἐρήμους.

ΧΟΡΟΣ.

παρ' εὐτυχῆ σοι πότμον ἦλθεν ἀπειροκάκῳ τόδ'
ἄλγος· ἀλλ' ἔσωσας
βίοτον καὶ ψυχάν.
ἔθανε δάμαρ, ἔλιπε φιλίαν·
τί νέον τόδε ; πολλοῖς
ἤδη παρέλυσεν
θάνατος δάμαρτος.

ΑΔΜΗΤΟΣ.

φίλοι, γυναικὸς δαίμον' εὐτυχέστερον
τοὐμοῦ νομίζω, καίπερ οὐ δοκοῦνθ' ὅμως·
τῆς μὲν γὰρ οὐδὲν ἄλγος ἅψεταί ποτε,
πολλῶν δὲ μόχθων εὐκλεὴς ἐπαύσατο.

920. καὶ ἀπ' A.H. et Flor. duo. Vulgo κἀπ'.

921. ἀριστέων] Legebatur ἀρίστων. Hermannus ἀριστῶν.

εἶμεν Heathius, ἦμεν A.H. Lasc. εἰμὲν Ald.

930. ἔθανε] ἄδμ. ἒ ἔ. Χορὸς. ὦ ἄδμητε ἔθανε A. Illud ἒ ἔ etiam ex H., in quo singularem versum constituit, et Flor. tribus enotavit Matthiæ.

932. παρέλυσεν Matthiæ. Libri παρέλυσε.

933. δάμαρτος] δάμαρτας H.

ἐγὼ δ', ὃν οὐ χρῆν ζῆν, παρεὶς τὸ μόρσιμον,
λυπρὸν διάξω βίοτον· ἄρτι μανθάνω.
πῶς γὰρ δόμων τῶνδ' εἰσόδους ἀνέξομαι;
τίν' ἂν προσειπών, τοῦ δὲ προσρηθεὶς ὕπο,
τερπνῆς τύχοιμ' ἂν εἰσόδου; ποῖ τρέψομαι;
ἡ μὲν γὰρ ἔνδον ἐξελᾷ μ' ἐρημία,
γυναικὸς εὐνὰς εὖτ' ἂν εἰσίδω κενὰς
θρόνους τ' ἐν οἷσιν ἷζε, καὶ κατὰ στέγας
αὐχμηρὸν οὖδας, τέκνα δ' ἀμφὶ γούνασι
πίπτοντα κλαίῃ μητέρ', οἱ δὲ δεσπότιν
στένωσιν οἵαν ἐκ δόμων ἀπώλεσαν.
τὰ μὲν κατ' οἴκους τοιάδ'· ἔξωθεν δέ με
γάμοι τ' ἐλῶσι Θεσσαλῶν καὶ ξύλλογοι
γυναικοπληθεῖς· οὐ γὰρ ἐξανέξομαι
λεύσσων δάμαρτος τῆς ἐμῆς ὁμήλικας.
ἐρεῖ δέ μ' ὅστις ἐχθρὸς ὢν κυρεῖ τάδε·
ἰδοῦ τὸν αἰσχρῶς ζῶνθ', ὃς οὐκ ἔτλη θανεῖν,
ἀλλ' ἣν ἔγημεν ἀντιδοὺς ἀψυχίᾳ
πέφευγεν Ἅιδην· κᾆτ' ἀνὴρ εἶναι δοκεῖ;
στυγεῖ δὲ τοὺς τεκόντας, αὐτὸς οὐ θέλων
θανεῖν. τοιάνδε πρὸς κακοῖσι κληδόνα
ἕξω. τί μοι ζῆν δῆτα κύδιον, φίλοι,
κακῶς κλύοντι καὶ κακῶς πεπραγότι;

ΧΟΡΟΣ.

ἐγὼ καὶ διὰ μούσας
καὶ μετάρσιος ἦξα, καὶ

939. χρῆν Elmsleius. Libri χρή.
948. κλαίῃ] κλαίει A.H. Ald.
950. οἴκους] οἶκον A.H. et Flor. tres.
951. τ' ἐλῶσι Wakefieldus. Libri γ' ἐλῶσι.
953. λεύσσων] λεύσων A.
955. ἰδοῦ] ἰδοὺ A.
957. κᾆτ'] εἶτ' A.H. et Flor. tres.
962—972=973—983.

πλείστων ἁψάμενος λόγων
κρεῖσσον οὐδὲν ἀνάγκας
εὗρον, οὐδέ τι φάρμακον
Θρῄσσαις ἐν σανίσιν, τὰς
Ὀρφεία κατέγραψεν
γῆρυς, οὐδ' ὅσα Φοῖβος Ἀσκληπιάδαις ἔδωκε
φάρμακα πολυπόνοις ἀντιτεμὼν βροτοῖσιν.
μόνας δ' οὔτ' ἐπὶ βωμοὺς
ἐλθεῖν οὔτε βρέτας θεᾶς
ἔστιν, οὐ σφαγίων κλύει.
μή μοι, πότνια, μείζων
ἔλθοις ἢ τὸ πρὶν ἐν βίῳ.
καὶ γὰρ Ζεὺς ὅ τι νεύσῃ,
σὺν σοὶ τοῦτο τελευτᾷ.
καὶ τὸν ἐν Χαλύβοις δαμάζεις σὺ βίᾳ σίδαρον,
οὐδέ τις ἀποτόμου λήματός ἐστιν αἰδώς.
καὶ σ' ἐν ἀφύκτοισι χερῶν εἷλε θεὰ δεσμοῖς·
τόλμα δ'· οὐ γὰρ ἀνάξεις ποτ' ἔνερθεν
κλαίων τοὺς φθιμένους ἄνω. καὶ θεῶν σκότιοι
φθίνουσι παῖδες ἐν θανάτῳ.
φίλα μὲν ὅτ' ἦν μεθ' ἡμῶν,

964. πλείστων libri præter Ald. qui πλεῖστον.

967. σανίσιν] σανίσι A. et edd. veteres.

970, 971. Vulgo versus quattuor, γῆρυς — | Ἀσκλ. — | φάρμακα — | ἀντιτεμὼν βροτοῖσι.

970. Ἀσκληπιάδαις] Ἀσκληπιάδαισιν Ald.

ἔδωκε Musgravius. Libri παρέδωκε.

972. βροτοῖσιν Flor. duo. Reliqui libri βροτοῖσι.

978. νεύσῃ] νεύσει A.H. et quinque alii.

980. Χαλύβοις] Χαλύβοισι Ald. σίδαρον] σίδηρον A.

984—994=995—1005.

984—990. In vett. edd. versus septem, καί σ' — | εἷλε — | τόλμα — | ξεις ποτ' — | κλαίων — | καὶ θεῶν — | παῖδες ἐν θανάτῳ.

985. τόλμα δ'] τόλμα τάδ' A.H.

989. φθιμένους] φθινομένους A.

990. φθίνουσι] φθινύθουσι A.H. aliique.

991. ἦν A.H. Flor. quattuor et Lasc. ἦν γε Ald.

φίλα δ' ἔτι καὶ θανοῦσα·
γενναιοτάταν δὲ πασᾶν
ἐζεύξω κλισίαις ἄκοιτιν.
μηδὲ νεκρῶν ὡς φθιμένων χῶμα νομιζέσθω
τύμβος σᾶς ἀλόχου, θεοῖσι δ' ὁμοίως
τιμάσθω, σέβας ἐμπόρων. καί τις δοχμίαν
κέλευθον ἐμβαίνων τόδ' ἐρεῖ·
αὕτα ποτὲ προὔθαν' ἀνδρὸς,
νῦν δ' ἐστὶ μάκαιρα δαίμων,
χαῖρ', ὦ πότνι', εὖ δὲ δοίης.
τοῖαί νιν προσεροῦσι φῆμαι.
καὶ μὴν ὅδ', ὡς ἔοικεν, Ἀλκμήνης γόνος,
Ἄδμητε, πρὸς σὴν ἑστίαν πορεύεται.

ΗΡΑΚΛΗΣ.

φίλον πρὸς ἄνδρα χρὴ λέγειν ἐλευθέρως,
Ἄδμητε, μομφὰς δ' οὐχ ὑπὸ σπλάγχνοις ἔχειν
σιγῶντ'. ἐγὼ δὲ σοῖς κακοῖσιν ἠξίουν
ἐγγὺς παρεστὼς ἐξετάζεσθαι φίλος·
σὺ δ' οὐκ ἔφραζες σῆς προκείμενον νέκυν
γυναικὸς, ἀλλά μ' ἐξένιζες ἐν δόμοις,
ὡς δὴ θυραίου πήματος σπουδὴν ἔχων.
κἄστεψα κρᾶτα καὶ θεοῖς ἐλειψάμην
σπονδὰς ἐν οἴκοις δυστυχοῦσι τοῖσι σοῖς.
καὶ μέμφομαι μὲν μέμφομαι παθὼν τάδε,

992. δ' ἔτι καὶ Portus. δέ τι καὶ Ald. δὲ καὶ A. Flor. duo et Lasc. δὲ, omisso καὶ, H. et Flor. duo.

θανοῦσα] θανοῦσ' ἔσται A.H. et Flor. duo, alius θανοῦσα ἔσται. θανοῦσ' ἐστίν Lasc. et Flor. unus.

993. πασᾶν] πᾶσαν A. et Flor. tres.

999. ὁμοίως] ὅμοιος A.H.

1002. προὔθαν' Monkius. Libri προὔθανεν.

1004. πότνι'] πότνια A.

1009. μομφὰς] μορφὰς A.H. Ald.

1015. ἐλειψάμην libri omnes præter Ald. qui ἐσπεισάμην.

1017. μὲν A.H. et Flor. tres. Vulgo δή.

οὐ μήν σε λυπεῖν ἐν κακοῖσι βούλομαι.
ὧν δ' οὕνεχ' ἥκω δεῦρ' ὑποστρέψας πάλιν
λέξω. γυναῖκα τήνδε μοι σῶσον λαβὼν,
ἕως ἂν ἵππους δεῦρο Θρῃκίας ἄγων
ἔλθω, τύραννον Βιστόνων κατακτανών.
πράξας δ' ὃ μὴ τύχοιμι, νοστήσαιμι γὰρ,
δίδωμι τήνδε σοῖσι προσπολεῖν δόμοις.
πολλῷ δὲ μόχθῳ χεῖρας ἦλθεν εἰς ἐμάς·
ἀγῶνα γὰρ πάνδημον εὑρίσκω τινὰς
τιθέντας ἀθληταῖσιν, ἄξιον πόνου,
ὅθεν κομίζω τήνδε νικητήρια
λαβών· τὰ μὲν γὰρ κοῦφα τοῖς νικῶσιν ἦν
ἵππους ἄγεσθαι, τοῖσι δ' αὖ τὰ μείζονα
νικῶσι, πυγμὴν καὶ πάλην, βουφόρβια·
γυνὴ δ' ἐπ' αὐτοῖς εἵπετ'· ἐντυχόντι δὲ
αἰσχρὸν παρεῖναι κέρδος ἦν τόδ' εὐκλεές.
ἀλλ', ὥσπερ εἶπον, σοὶ μέλειν γυναῖκα χρή·
οὐ γὰρ κλοπαίαν, ἀλλὰ σὺν πόνῳ λαβὼν
ἥκω· χρόνῳ δὲ καὶ σύ μ' αἰνέσεις ἴσως.

ΑΔΜΗΤΟΣ.

οὔτοι σ' ἀτίζων οὐδ' ἐν ἐχθροῖσιν τιθεὶς
ἔκρυψ' ἐμῆς γυναικὸς ἀθλίους τύχας·
ἀλλ' ἄλγος ἄλγει τοῦτ' ἂν ἦν προσκείμενον,
εἴ του πρὸς ἄλλου δώμαθ' ὡρμήθης ξένου·

1022. ἔλθω] ἔνθα A.H. Βιστόνων] βιστονῶν A.

1024. σοῖσι] σοι A. σοῖς γε A. προσπολεῖν A.H. et Flor. tres. Vulgo πρόσπολον.

1027. πόνου] πόνον A.H. πόνων Flor. tres.

1030. αὖ τὰ] αὐτὰ A.

1037. οὔτοι] οὔτι H. non A. ἀτίζων Scaliger et fragmentum MS. Musei Britannici apud Musgravium. Reliqui libri omnes ἀτιμάζων. ἐχθροῖσι A.H. aliique. αἰσχροῖσι Lasc. Ald.

1038. ἀθλίους] ἀθλίου A.H. Ald.

1039. προσκείμενον] προκείμενον A. et Flor. duo.

1040. εἴ του H. et Flor. duo. εἰ τοῦ A. Vulgo εἴπερ.

ἅλις δὲ κλαίειν τοὐμὸν ἦν ἐμοὶ κακόν.
γυναῖκα δ', εἴ πως ἔστιν, αἰτοῦμαί σ', ἄναξ,
ἄλλον τιν' ὅστις μὴ πέπονθεν οἷ' ἐγὼ
σώζειν ἄνωχθι Θεσσαλῶν· πολλοὶ δέ σοι
ξένοι Φεραίων· μή μ' ἀναμνήσῃς κακῶν.
οὐκ ἂν δυναίμην τήνδ' ὁρῶν ἐν δώμασιν
ἄδακρυς εἶναι· μὴ νοσοῦντί μοι νόσον
προσθῇς· ἅλις γὰρ συμφορᾷ βαρύνομαι.
ποῦ καὶ τρέφοιτ' ἂν δωμάτων νέα γυνή;
νέα γάρ, ὡς ἐσθῆτι καὶ κόσμῳ πρέπει.
πότερα κατ' ἀνδρῶν δῆτ' ἐνοικήσει στέγην;
καὶ πῶς ἀκραιφνής, ἐν νέοις στρωφωμένη,
ἔσται; τὸν ἡβῶνθ', Ἡράκλεις, οὐ ῥᾴδιον
εἴργειν· ἐγὼ δέ σου προμηθίαν ἔχω.
ἢ τῆς θανούσης θάλαμον ἐσβήσας τρέφω;
καὶ πῶς ἐπεσφρῶ τήνδε τῷ κείνης λέχει;
διπλῆν φοβοῦμαι μέμψιν, ἔκ τε δημοτῶν,
μή τίς μ' ἐλέγξῃ τὴν ἐμὴν εὐεργέτιν
προδόντ' ἐν ἄλλης δεμνίοις πίτνειν νέας,
καὶ τῆς θανούσης, ἀξία δέ μοι σέβειν,
πολλὴν πρόνοιαν δεῖ μ' ἔχειν. σὺ δ', ὦ γύναι,
ἥτις ποτ' εἶ σύ, ταὔτ' ἔχουσ' Ἀλκήστιδι
μορφῆς μέτρ' ἴσθι, καὶ προσήιξαι δέμας.

1045. *μή μ' ἀναμνήσῃς*] *μή με μιμνήσκεις* A.H. *μή με μισήσῃς* Flor. tres.

1048. *συμφορᾷ*] *συμφοραῖς* Flor. tres.

1052. *στρωφωμένη*] *στρωφωμένη* (ε, ο) A. *στροφωμένη* H.

1055. *ἢ*] *ἦ* A.

θάλαμον ἐσβήσας] *θάλαμον εἰσβήσας* sex codices. *εἰς θάλαμον βήσας* A.H. *εἰς θάλαμον βύσας* Ald.

1056. *ἐπεσφρῶ*] Vulgo *ἐπεισφρῶ*.

1058. *ἐλέγξῃ*] *ἐλέγχῃ* A. *ἐλέγχοι* H.

1059. *ἄλλης*] *ἄλλοις* A.H.

πίτνειν Monkius. Libri *πιτνεῖν*.

1060. *δέ μοι*] *δ' ἐμοὶ* A.

1062. *ταὔτ'* Portus. Libri *ταῦτ'*.

οἴμοι. κόμιζε πρὸς θεῶν ἀπ' ὀμμάτων
γυναῖκα τήνδε, μή μ' ἕλῃς ᾑρημένον.
δοκῶ γὰρ αὐτὴν εἰσορῶν γυναῖχ' ὁρᾶν
ἐμήν· θολοῖ δὲ καρδίαν, ἐκ δ' ὀμμάτων
πηγαὶ κατερρώγασιν· ὢ τλήμων ἐγὼ
ὡς ἄρτι πένθους τοῦδε γεύομαι πικροῦ.

ΧΟΡΟΣ.

ἐγὼ μὲν οὐκ ἔχοιμ' ἂν εὖ λέγειν τύχην·
χρὴ δ', ὅστις εἶσι, καρτερεῖν θεοῦ δόσιν.

ΗΡΑΚΛΗΣ.

εἰ γὰρ τοσαύτην δύναμιν εἶχον ὥστε σὴν
ἐς φῶς πορεῦσαι νερτέρων ἐκ δωμάτων
γυναῖκα, καί σοι τήνδε πορσῦναι χάριν.

ΑΔΜΗΤΟΣ.

σάφ' οἶδα βούλεσθαί σ' ἄν. ἀλλὰ ποῦ τόδε;
οὐκ ἔστι τοὺς θανόντας ἐς φάος μολεῖν.

ΗΡΑΚΛΗΣ.

μή νυν ὑπέρβαλλ', ἀλλ' ἐναισίμως φέρε.

ΑΔΜΗΤΟΣ.

ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν.

ΗΡΑΚΛΗΣ.

τί δ' ἂν προκόπτοις, εἰ θέλεις ἀεὶ στένειν;

ΑΔΜΗΤΟΣ.

ἔγνωκα καὐτὸς, ἀλλ' ἔρως τις ἐξάγει.

1064. ἀπ'] ἐξ A.H. et Flor. tres.

1066. ὁρᾶν] ὁρῶν A.

1068. τλήμον (ω above) A.

1071. εἶσι Hermannus. Libri εἶ σὺ, nisi quod Lasc. et Flor. unus σὺ omittunt.

1074. πορσῦναι Matthiæ. Libri πορσύναι.

1077. μή νυν Monkius. Libri μὴ νῦν.

ὑπέρβαλλ' Monkius. ὑπέρβαλ' Parisini duo et Flor. tres. ὑπέρβαιν' A. Lasc. Ald.

ἐναισίμως] αἰνεσίμως A.H. aliique.

1079. θέλεις] θέλοις Ald. et Galenus vol. V. p. 150.

1080. τις Galenus. Vulgo τίς μ'.

ΗΡΑΚΛΗΣ.

τὸ γὰρ φιλῆσαι τὸν θανόντ' ἄγει δάκρυ.

ΑΔΜΗΤΟΣ.

ἀπώλεσέν με, κἄτι μᾶλλον ἢ λέγω.

ΗΡΑΚΛΗΣ.

γυναικὸς ἐσθλῆς ἤμπλακες· τίς ἀντερεῖ;

ΑΔΜΗΤΟΣ.

ὥστ' ἄνδρα τόνδε μηκέθ' ἥδεσθαι βίῳ.

ΗΡΑΚΛΗΣ.

χρόνος μαλάξει, νῦν δ' ἔθ' ἡβάσκει κακόν.

ΑΔΜΗΤΟΣ.

χρόνον λέγοις ἄν, εἰ χρόνος τὸ κατθανεῖν.

ΗΡΑΚΛΗΣ.

γυνή σε παύσει καὶ νέου γάμου πόθος.

ΑΔΜΗΤΟΣ.

σίγησον· οἷον εἶπας. οὐκ ἂν ᾠόμην.

ΗΡΑΚΛΗΣ.

τί δ'; οὐ γαμεῖς γάρ, ἀλλὰ χηρεύσει λέχος;

ΑΔΜΗΤΟΣ.

οὐκ ἔστιν ἥτις τῷδε συγκλιθήσεται.

ΗΡΑΚΛΗΣ.

μῶν τὴν θανοῦσαν ὠφελεῖν τι προσδοκᾷς;

ΑΔΜΗΤΟΣ.

κείνην ὅπουπέρ ἐστι τιμᾶσθαι χρεών.

1082. ἀπώλεσέ με καὶ ἔτι A.

1083. ἀντερεῖ] ἀνταιρεῖ A.

1085. μαλάξει] σε add. A.H. ex v. 381.

ἡβάσκει Galenus l. c. p. 152. Libri ἡβᾷ σοι. (ἡβᾶσοι A.)

1087. πόθος] πόθοι A.H. Flor. tres, Lasc.

1089. χηρεύσει ex H. et quinque aliis codicibus affertur, quos vel omnes vel partim χηρεύσῃ exhibere puto ut A. χηρεύεις Lasc. Ald. et Flor. unus.

1090. τῷδε] τῷδ' ἀνδρὶ A. H.

ΗΡΑΚΛΗΣ.

αἰνῶ μὲν αἰνῶ· μωρίαν δ' ὀφλισκάνεις.

ΑΔΜΗΤΟΣ.

ὡς μήποτ' ἄνδρα τόνδε νυμφίον καλῶν.

ΗΡΑΚΛΗΣ.

ἐπήνεσ' ἀλόχῳ πιστὸς οὕνεκ' εἶ φίλος.

ΑΔΜΗΤΟΣ.

θάνοιμ' ἐκείνην καίπερ οὐκ οὖσαν προδούς.

ΗΡΑΚΛΗΣ.

δέχου νυν εἴσω τήνδε γενναίων δόμων.

ΑΔΜΗΤΟΣ.

μή, πρός σε τοῦ σπείραντος ἄντομαι Διός.

ΗΡΑΚΛΗΣ.

καὶ μὴν ἁμαρτήσει γε μὴ δράσας τάδε.

ΑΔΜΗΤΟΣ.

καὶ δρῶν γε λύπῃ καρδίαν δηχθήσομαι.

ΗΡΑΚΛΗΣ.

πιθοῦ· τάχ' ἂν γὰρ ἐς δέον πέσοι χάρις.

ΑΔΜΗΤΟΣ.

φεῦ.
εἴθ' ἐξ ἀγῶνος τήνδε μὴ 'λαβές ποτε.

ΗΡΑΚΛΗΣ.

νικῶντι μέντοι καὶ σὺ συννικᾷς ἐμοί.

ΑΔΜΗΤΟΣ.

καλῶς ἔλεξας· ἡ γυνὴ δ' ἀπελθέτω.

ΗΡΑΚΛΗΣ.

ἄπεισιν, εἰ χρή· πρῶτα δ' εἰ χρεὼν ἄθρει.

1093. μωρίαν] μυρίαν (μω superscript) A.
1094. καλῶν] καλόν A.
1097. νυν] νῦν A.
1098. ἄντομαι] αἰτοῦμαι A.H. et Flor. tres.
1099. ἁμαρτήσει] ἁμαρτήσῃ A. et edd. veteres: illud H.
1101. πιθοῦ· τάχ' ἂν γὰρ] πείθου· τάχα γὰρ A.H.
1105. ἄθρει] ὅρα Lasc. Ald.

ΑΔΜΗΤΟΣ.

χρή, σοῦ γε μὴ μέλλοντος ὀργαίνειν ἐμοί.

ΗΡΑΚΛΗΣ.

εἰδώς τι κἀγὼ τήνδ' ἔχω προθυμίαν.

ΑΔΜΗΤΟΣ.

νίκα νυν. οὐ μὴν ἀνδάνοντά μοι ποιεῖς.

ΗΡΑΚΛΗΣ.

ἀλλ' ἔσθ' ὅθ' ἡμᾶς αἰνέσεις· πιθοῦ μόνον.

ΑΔΜΗΤΟΣ.

κομίζετ', εἰ χρὴ τήνδε δέξασθαι δόμοις.

ΗΡΑΚΛΗΣ.

οὐκ ἂν μεθείην σοῖς γυναῖκα προσπόλοις.

ΑΔΜΗΤΟΣ.

σὺ δ' αὐτὸς αὐτὴν εἴσαγ', εἰ δοκεῖ, δόμοις.

ΗΡΑΚΛΗΣ.

ἐς σὰς μὲν οὖν ἔγωγε θήσομαι χέρας.

ΑΔΜΗΤΟΣ.

οὐκ ἂν θίγοιμι, δῶμα δ' εἰσελθεῖν πάρα.

ΗΡΑΚΛΗΣ.

τῇ σῇ πέποιθα χειρὶ δεξιᾷ μόνῃ.

ΑΔΜΗΤΟΣ.

ἄναξ, βιάζει μ' οὐ θέλοντα δρᾶν τάδε.

ΗΡΑΚΛΗΣ.

τόλμα προτεῖναι χεῖρα καὶ θιγεῖν ξένης.

1106. ἐμοί] ἐμέ Monkius.

1108. omittit H. ad marginem scriptum habet A.

νυν] νῦν A.

1111. σοῖς] τὴν A.H. Lasc. Ald.: illud Flor. tres et Par. duo.

1112. εἴσαγ'] εἰσάγαγ' A.

δοκεῖ] βούλει A.H. et Flor. tres.

1114. δῶμα δ'] δώματ' A.H. et Flor. tres.

1116. βιάζει] βιάζῃ A. et edd. veteres.

1117. προτεῖναι A.H. Vulgo προτείνειν.

θιγεῖν] Libri θίγειν.

ΑΔΜΗΤΟΣ.

καὶ δὴ προτείνω, Γοργόν' ὡς καρατόμῳ.

ΗΡΑΚΛΗΣ.

ἔχεις;

ΑΔΜΗΤΟΣ.

ἔχω.

ΗΡΑΚΛΗΣ.

ναὶ, σῶζέ νυν, καὶ τὸν Διὸς
φήσεις ποτ' εἶναι παῖδα γενναῖον ξένον.
βλέψον δ' ἐς αὐτὴν, εἴ τι σῇ δοκεῖ πρέπειν
γυναικί· λύπης δ' εὐτυχῶν μεθίστασο.

ΑΔΜΗΤΟΣ.

ὦ θεοὶ, τί λέξω; θαῦμ' ἀνέλπιστον τόδε·
γυναῖκα λεύσσω τήνδ' ἐμὴν ἐτητύμως,
ἢ κέρτομός με θεοῦ τις ἐκπλήσσει χαρά;

ΗΡΑΚΛΗΣ.

οὐκ ἔστιν, ἀλλὰ τήνδ' ὁρᾷς δάμαρτα σήν.

ΑΔΜΗΤΟΣ.

ὅρα γε μή τι φάσμα νερτέρων τόδ' ᾖ.

ΗΡΑΚΛΗΣ.

οὐ ψυχαγωγὸν τόνδ' ἐποιήσω ξένον.

ΑΔΜΗΤΟΣ.

ἀλλ' ἣν ἔθαπτον εἰσορῶ δάμαρτ' ἐμήν;

ΗΡΑΚΛΗΣ.

σάφ' ἴσθ'. ἀπιστεῖν δ' οὔ σε θαυμάζω τύχην.

1118. δὴ A.H. et Flor. duo. Vulgo μήν.

1119. σῶζέ νυν] Vulgo σῶζε νῦν.

1120. παῖδα om. A. sed supra scriptum, λείπει τὸν παῖδα.

1121. δ' ἐς] πρὸς A.H.

σῇ Marklandus. Libri σοι.

1122. δ' om. A.H.

1123. λέξω] λεύσω A. λεύσσω H. et Flor. tres.

1124. λεύσσω] λεύσω A. λεύσσων Lasc. Ald.

τήνδ'] τὴν A.H. aliique.

1125. ἢ Barnesius. Libri ἦ.

1127. τόδ' ᾖ] τόδ' εἰσορῶ A.

ΑΔΜΗΤΟΣ.

θίγω, προσείπω ζῶσαν ὡς δάμαρτ᾽ ἐμήν;

ΗΡΑΚΛΗΣ.

πρόσειπ᾽. ἔχεις γὰρ πᾶν ὅσονπερ ἤθελες.

ΑΔΜΗΤΟΣ.

ὦ φιλτάτης γυναικὸς ὄμμα καὶ δέμας,
ἔχω σ᾽ ἀέλπτως, οὔποτ᾽ ὄψεσθαι δοκῶν.

ΗΡΑΚΛΗΣ.

ἔχεις· φθόνος δὲ μὴ γένοιτό τις θεῶν.

ΑΔΜΗΤΟΣ.

ὦ τοῦ μεγίστου Ζηνὸς εὐγενὲς τέκνον,
εὐδαιμονοίης, καί σ᾽ ὁ φιτύσας πατὴρ
σώζοι· σὺ γὰρ δὴ τἄμ᾽ ἀνώρθωσας μόνος.
πῶς τήνδ᾽ ἔπεμψας νέρθεν ἐς φάος τόδε;

ΗΡΑΚΛΗΣ.

μάχην συνάψας δαιμόνων τῷ κυρίῳ.

ΑΔΜΗΤΟΣ.

ποῦ τόνδε Θανάτῳ φὴς ἀγῶνα συμβαλεῖν;

ΗΡΑΚΛΗΣ.

τύμβον παρ᾽ αὐτὸν ἐκ λόχου μάρψας χεροῖν.

ΑΔΜΗΤΟΣ.

τί γάρ ποθ᾽ ἥδ᾽ ἄναυδος ἕστηκεν γυνή;

ΗΡΑΚΛΗΣ.

οὔπω θέμις σοι τῆσδε προσφωνημάτων
κλύειν, πρὶν ἂν θεοῖσι τοῖσι νερτέροις

1132. πᾶν] πάνθ᾽ H. πάνθ᾽ ὅσαπερ Flor. unus.

1137. φιτύσας A.H. Reliqui libri φυτεύσας.

1138. γὰρ δὴ τἄμ᾽ ἀνώρθωσας A. et sex alii codices cum Lasc. γὰρ δή μ᾽ ἀνόρθωσας H. γὰρ δὴ τἀμά γ᾽ ὤρθωσας codex Paris. γὰρ δὴ τἄμ᾽ ἄγ᾽ ὤρθωσας unus ex Florentinis. γὰρ τἄμ᾽ ἐξανώρθωσας Ald.

1139. ἐς] εἰς A. et edd. veteres.

1140. κυρίῳ quinque codices. κοιράνῳ A.H. Lasc. Ald.

1143. ἕστηκεν] ἕστηκε A.

ἀφαγνίσηται καὶ τρίτον μόλῃ φάος.
ἀλλ' εἴσαγ' εἴσω τήνδε· καὶ δίκαιος ὢν
τὸ λοιπὸν, Ἄδμητ', εὐσέβει περὶ ξένους.
καὶ χαῖρ'· ἐγὼ δὲ τὸν προκείμενον πόνον
Σθενέλου τυράννῳ παιδὶ πορσυνῶ μολών.

ΑΔΜΗΤΟΣ.

μεῖνον παρ' ἡμῖν καὶ ξυνέστιος γενοῦ.

ΗΡΑΚΛΗΣ.

αὖθις τόδ' ἔσται, νῦν δ' ἐπείγεσθαί με δεῖ.

ΑΔΜΗΤΟΣ.

ἀλλ' εὐτυχοίης, νόστιμον δ' ἔλθοις πόδα.
ἀστοῖς δὲ πάσῃ τ' ἐννέπω τετραρχίᾳ
χοροὺς ἐπ' ἐσθλαῖς συμφοραῖσιν ἱστάναι
βωμούς τε κνισᾶν βουθύτοισι προστροπαῖς.
νῦν γὰρ μεθηρμόσμεσθα βελτίω βίον
τοῦ πρόσθεν· οὐ γὰρ εὐτυχῶν ἀρνήσομαι.

ΧΟΡΟΣ.

πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

1150. πορσυνῶ] πορσύνω A.
1151. ξυνέστιος] συνέστιος A.
1153. πόδα Parisini duo et Flor. tres. ὁδὸν A.H. et pro var. lect. Paris. duo. δόμον Lasc. Ald. et Flor. unus.
1154. πάσῃ] πᾶσι A.H.
1155. ἱστάναι] ἱστᾶναι A. ἑστᾶναι H.
1156. προστροπαῖς] προτροπαῖς A.H.
1157. μεθηρμόσμεσθα] μεθηρμόμεσθα A. et Flor. unus. μεθηρμόσμεθα H. et Flor. duo.
1163. τόδε] τόδε τὸ A.H.